GREEK SERIES · VOLUME 35

The Iliad

Homer

ΙΛΙΑΣ

The Iliad

Part One: Books I–VIII

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 35 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Monro and Allen's text of the Iliad, third edition, 1920

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

BOOK I

I.1 · The Priest of Apollo 9
I.2 · Calchas Speaks 13
I.3 · The Quarrel 18
I.4 · Athena Restrains Achilles 23
I.5 · Nestor's Counsel 27
I.6 · Briseis Is Taken 33
I.7 · Achilles and Thetis 36
I.8 · Chryseis Returned 41
I.9 · Thetis Supplicates Zeus 45
I.10 · Quarrel on Olympus 49

BOOK II

II.1 · The Dream 55
II.2 · The Testing of the Army 59
II.3 · Odysseus Turns the Army 65
II.4 · Thersites 70
II.5 · The Omen at Aulis 75
II.6 · Nestor's Advice 79
II.7 · The Army Marshals 84
II.8 · The Catalog: Boeotia to Argos 90
II.9 · The Catalog: Mycenae to Rhodes 96
II.10 · The Catalog: Syme to Thessaly 104

BOOK II

(continued)

II.11 · The Trojans Muster 110
II.12 · The Trojan Catalog 115

BOOK III

III.1 · Paris and Menelaus 121
III.2 · The Duel Proposed 124
III.3 · Helen on the Wall 130
III.4 · Odysseus and Ajax 135
III.5 · The Oaths 139
III.6 · The Duel 146
III.7 · Helen and Paris 150

BOOK IV

IV.1 · The Gods in Council 157
IV.2 · Pandarus' Arrow 162
IV.3 · Agamemnon's Fear 168
IV.4 · Agamemnon Reviews the Army 173
IV.5 · Menestheus, Odysseus, and Diomedes 180
IV.6 · The Armies Meet 186
IV.7 · The First Day's Killing 192

BOOK V

V.1 · Diomedes' Valor 199
V.2 · Diomedes Wounded 205
V.3 · Aeneas and Pandarus 211
V.4 · Pandarus Killed, Aeneas Wounded 217
V.5 · Aphrodite Wounded 222
V.6 · Apollo Saves Aeneas 229
V.7 · The Trojans Rally 235
V.8 · Sarpedon and Tlepolemus 241

BOOK V

(continued)

V.9 · Hector and Ares Advance 247
V.10 · Hera and Athena Go to War 252
V.11 · Ares Wounded 259

BOOK VI

VI.1 · Adrastus Spared and Killed 267
VI.2 · Helenus' Advice 272
VI.3 · Glaucus and Diomedes 276
VI.4 · Hector in Troy 283
VI.5 · Hector, Paris, and Helen 290
VI.6 · Hector and Andromache 296
VI.7 · Hector Returns to Battle 302

BOOK VII

VII.1 · Hector's Challenge 307
VII.2 · Nestor Shames the Chiefs 313
VII.3 · Ajax Chosen 318
VII.4 · The Duel of Ajax and Hector 324
VII.5 · The Truce for the Dead 329
VII.6 · The Wall 336

BOOK VIII

VIII.1 · Zeus Forbids the Gods 343
VIII.2 · Nestor Rescued 349
VIII.3 · Hector's Boast 355
VIII.4 · Teucer the Archer 361
VIII.5 · Hera and Athena Arm Again 368
VIII.6 · The Goddesses Turned Back 373
VIII.7 · The Trojan Watch Fires 379

BOOK I

I.1 · THE PRIEST OF APOLLO

The poet asks the goddess to sing the wrath of Achilles, which sent many heroes to Hades, from the day he and Agamemnon first quarreled. Chryses, Apollo's priest, comes to the ships to ransom his daughter, and every Achaean but Agamemnon would accept; Agamemnon drives him off with threats. The old man prays to Apollo, who comes down from Olympus and shoots his arrows into the camp, first at the mules and dogs and then at the men, until the pyres burn without ceasing.

Μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος
The-wrath sing goddess of-the-son-of-Peleus Achilles
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,
cursed which countless for-the-Achaeans pains set
πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
many and mighty souls to-Hades hurled-forth
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν
of-heroes themselves and spoils made for-dogs
οἰωνοῖσί τε πᾶσι, Διὸς δ' ἐτελείετο βουλή,
for-birds and all of-Zeus and was-accomplished the-plan
ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
from when indeed the first stood-apart having-quarreled
Ἀτρεΐδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.
the-son-of-Atreus both lord of-men and noble Achilles
Τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Who — then them-two of-the-gods in-strife brought-together to-fight
Λητοῦς καὶ Διὸς υἱός· ὁ γὰρ βασιλῆϊ χολωθεὶς
of-Leto and of-Zeus the-son he for with-the-king having-been-angered
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί,
a-plague through the-host roused evil were-perishing and the-people

οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα
because — Chryses dishonored the-priest
Ἀτρεΐδης· ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
the-son-of-Atreus he for came swift to ships of-the-Achaeans
λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα,
to-ransom both daughter bringing and boundless ransom
στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
the-fillets holding in hands of-far-shooting Apollo
χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ λίσσετο πάντας Ἀχαιούς,
golden on staff and he-begged all Achaeans
Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν·
the-sons-of-Atreus and most the-two marshals of-the-people
" Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
sons-of-Atreus both and other well-greaved Achaeans
ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες
to-you indeed the-gods may-grant Olympian homes having
ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ' οἴκαδ' ἱκέσθαι·
to-sack of-Priam the-city well and homeward to-arrive
παῖδα δ' ἐμοὶ λύσαιτε φίλην, τὰ δ' ἄποινα δέχεσθαι,
child and to-me may-you-release dear the and ransom to-accept
ἁζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα."
revering of-Zeus the-son far-shooting Apollo
Ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
Then others indeed all shouted-assent Achaeans
αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
to-respect both the-priest and glorious to-take ransom
ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
but not to-the-son-of-Atreus Agamemnon it-pleased in-heart
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
but harshly he-sent-away strong and upon word laid

"μή σε, γέρον, κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχείω
let-not you old-man hollow I beside ships find
ἢ νῦν δηθύνοντ' ἢ ὕστερον αὖτις ἰόντα,
either now lingering or later again coming
μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο·
lest now to-you not avail staff and fillet of-the-god
τὴν δ' ἐγὼ οὐ λύσω· πρίν μιν καὶ γῆρας ἔπεισιν
her and I not will-release sooner her even old-age will-come-upon
ἡμετέρῳ ἐνὶ οἴκῳ, ἐν Ἄργεϊ, τηλόθι πάτρης,
our in house in Argos far from-native-land
ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν·
the-loom plying and my bed sharing
ἀλλ' ἴθι, μή μ' ἐρέθιζε, σαώτερος ὥς κε νέηαι."
but go not me provoke safer so-that — you-may-go
Ὣς ἔφατ', ἔδεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ·
So he-spoke feared and the old-man and obeyed the-word
βῆ δ' ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης·
went and in-silence along the-shore of-the-loud-resounding sea
πολλὰ δ' ἔπειτ' ἀπάνευθε κιὼν ἠρᾶθ' ὁ γεραιὸς
much and then apart going prayed the old-man
Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ·
to-Apollo lord whom lovely-haired bore Leto
"κλῦθί μευ, ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας
hear me silver-bowed who Chryse guard
Κίλλαν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις,
Cilla both most-holy of-Tenedos and mightily rule
Σμινθεῦ, εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,
Smintheus if ever for-you pleasing over temple I-roofed

ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί᾽ ἔκηα
or if indeed ever for-you down fat thighs I-burned
ταύρων ἠδ᾽ αἰγῶν, τόδε μοι κρήηνον ἐέλδωρ·
of-bulls and of-goats this for-me fulfill wish
τείσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.᾽᾽
may-pay-for the-Danaans my tears with-your arrows
Ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων,
So he-spoke praying him and heard Phoebus Apollo
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων χωόμενος κῆρ,
went and down-from of-Olympus the-peaks angered at-heart
τόξ᾽ ὤμοισιν ἔχων ἀμφηρεφέα τε φαρέτρην·
bow on-shoulders having covered-over and quiver
ἔκλαγξαν δ᾽ ἄρ᾽ ὀϊστοὶ ἐπ᾽ ὤμων χωομένοιο,
clanged and then the-arrows on shoulders of-the-angered-one
αὐτοῦ κινηθέντος· ὁ δ᾽ ἤϊε νυκτὶ ἐοικώς.
himself moving he and went to-the-night like
ἕζετ᾽ ἔπειτ᾽ ἀπάνευθε νεῶν, μετὰ δ᾽ ἰὸν ἔηκε·
he-sat then apart from-the-ships among and an-arrow sent
δεινὴ δὲ κλαγγὴ γένετ᾽ ἀργυρέοιο βιοῖο·
dread and a-clang arose of-the-silver bow
οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς,
the-mules indeed first he-went-at and dogs swift
αὐτὰρ ἔπειτ᾽ αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς
but then at-themselves the-arrow sharp sending
βάλλ᾽· αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.
he-struck always and pyres of-the-dead burned thick

I.2 · CALCHAS SPEAKS

On the tenth day Achilles calls an assembly and proposes that they ask a seer why Apollo is angry. Calchas will speak only if Achilles swears to protect him, and then declares that the god is angered for his priest, and will not end the plague until the girl is given back unransomed with a hecatomb. Agamemnon rages at the seer, says he prefers the girl to his wife, but will give her back for the army's sake, and demands another prize at once.

Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο,
For-nine-days indeed through the-host went the-shafts of-the-god
τῇ δεκάτῃ δ' ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς·
on-the tenth and to-the-assembly called the-people Achilles
τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη·
to-him for in mind put the-goddess white-armed Hera
κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο.
she-cared for for-the-Danaans because then dying she-saw(-them)
οἱ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,
they and when then were-gathered assembled and became
τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
among-them and rising-up spoke-among in-feet swift Achilles
"Ἀτρεΐδη, νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω
son-of-Atreus now us driven-back I-think
ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν,
back to-return-home if — death indeed we-should-escape
εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς·
if indeed together war both will-subdue and plague the-Achaeans
ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα,
but come indeed some seer let-us-ask or priest
ἢ καὶ ὀνειροπόλον, καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν,
or even dream-interpreter even for — a-dream from Zeus is

ὅς κ᾽ εἴποι ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
who — might-tell for-what cause so-much was-angered Phoebus Apollo
εἴτ᾽ ἄρ᾽ ὅ γ᾽ εὐχωλῆς ἐπιμέμφεται εἴθ᾽ ἑκατόμβης,
whether then he indeed for-a-vow blames or-whether for-a-hecatomb
αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων
if — somehow of-lambs the-savor of-goats and unblemished
βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.”
he-wishes having-partaken from-us away ruin to-ward-off
Ἤτοι ὅ γ᾽ ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο· τοῖσι δ᾽ ἀνέστη
Truly he indeed so having-spoken down then sat among-them and rose
Κάλχας Θεστορίδης, οἰωνοπόλων ὄχ᾽ ἄριστος,
Calchas son-of-Thestor of-bird-diviners by-far best
ὃς ἤδη τά τ᾽ ἐόντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα,
who knew the both being the and to-be before and being
καὶ νήεσσ᾽ ἡγήσατ᾽ Ἀχαιῶν Ἴλιον εἴσω
and ships led of-the-Achaeans Ilium into
ἣν διὰ μαντοσύνην, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων·
his-own through prophecy which to-him granted Phoebus Apollo
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them with-good-intent addressed-the-assembly and spoke-among(-them)
“ὦ Ἀχιλεῦ, κέλεαί με, Διῒ φίλε, μυθήσασθαι
O Achilles you-bid me to-Zeus dear to-declare
μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος·
the-wrath of-Apollo far-shooting lord
τοιγὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο καί μοι ὄμοσσον
therefore I will-speak you and attend and to-me swear
ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν·
truly indeed to-me readily with-words and with-hands to-help

ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
truly for I-think a-man to-anger who greatly over-all
Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί·
Argives rules and him obey the-Achaeans
κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ· 80
mightier for a-king when he-is-angry with-a-man lesser
εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
if indeed for — anger indeed even the-same-day he-swallow-down
ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ,
yet — even afterward he-holds a-grudge until he-fulfills(-it)
ἐν στήθεσσιν ἑοῖσι· σὺ δὲ φράσαι εἴ με σαώσεις."
in breast his-own you and consider if me you-will-save
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and answering addressed in-feet swift Achilles
"θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ τι οἶσθα· 85
taking-courage fully speak the-oracle what any you-know
οὐ μὰ γὰρ Ἀπόλλωνα Διΐ φίλον, ᾧ τε σύ, Κάλχαν,
no by for Apollo to-Zeus dear to-whom — you Calchas
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
praying to-the-Danaans oracles reveal
οὔ τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
not anyone while-I live and on earth see
σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
on-you hollow beside ships heavy hands will-lay
συμπάντων Δαναῶν, οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς, 90
of-all-together the-Danaans not-even if Agamemnon you-name
ὃς νῦν πολλὸν ἄριστος Ἀχαιῶν εὔχεται εἶναι."
who now by-far best of-the-Achaeans claims to-be

Καὶ τότε δὴ θάρσησε καὶ ηὔδα μάντις ἀμύμων·
And then indeed took-courage and spoke the-seer blameless
"οὔτ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται οὔθ' ἑκατόμβης,
neither then he indeed for-a-vow blames nor for-a-hecatomb
ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων
but for-the-sake-of the-priest whom dishonored Agamemnon
οὐδ' ἀπέλυσε θύγατρα καὶ οὐκ ἀπεδέξατ' ἄποινα,
nor released (his)-daughter and not accepted ransom
τοὔνεκ' ἄρ' ἄλγε' ἔδωκεν ἑκηβόλος ἠδ' ἔτι δώσει·
therefore then pains gave the-far-shooter and still will-give
οὐδ' ὅ γε πρὶν Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει,
nor he indeed sooner from-the-Danaans shameful ruin will-thrust-away
πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην
before indeed back to-father dear to-give the-bright-eyed girl
ἀπριάτην ἀνάποινον, ἄγειν θ' ἱερὴν ἑκατόμβην
unbought unransomed to-lead and sacred hecatomb
ἐς Χρύσην· τότε κέν μιν ἱλασσάμενοι πεπίθοιμεν."
to Chryse then — him having-appeased we-might-persuade
Ἦτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Truly he indeed so having-spoken down then sat among-them and rose
ἥρως Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
the-hero son-of-Atreus wide ruling Agamemnon
ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφὶ μέλαιναι
grieving with-fury and greatly heart on-both-sides black
πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην·
were-filled eyes and his to-fire blazing were-like
Κάλχαντα πρώτιστα κάκ' ὀσσόμενος προσέειπε·
Calchas first-of-all evil looking addressed
"μάντι κακῶν, οὐ πώ ποτέ μοι τὸ κρήγυον εἶπας·
seer of-evils not yet ever to-me the good you-spoke

αἰεί τοι τὰ κάκ᾽ ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι,
always to-you the evils are dear in-heart to-prophesy
ἐσθλὸν δ᾽ οὔτε τί πω εἶπας ἔπος οὔτ᾽ ἐτέλεσσας·
good and neither any yet you-spoke word nor accomplished
καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις
and now among the-Danaans prophesying you-declare
ὡς δὴ τοῦδ᾽ ἕνεκά σφιν ἑκηβόλος ἄλγεα τεύχει,
that indeed of-this for-the-sake to-them the-far-shooter pains makes
οὕνεκ᾽ ἐγὼ κούρης Χρυσηΐδος ἀγλαὰ ἄποινα
because I for-the-girl Chryseis glorious ransom
οὐκ ἔθελον δέξασθαι, ἐπεὶ πολὺ βούλομαι αὐτὴν
not was-willing to-accept since much I-wish her
οἶκοι ἔχειν· καὶ γάρ ῥα Κλυταιμνήστρης προβέβουλα
at-home to-have and for then to-Clytemnestra I-prefer(-her)
κουριδίης ἀλόχου, ἐπεὶ οὔ ἑθέν ἐστι χερείων,
wedded wife since not than-her she-is worse
οὐ δέμας οὐδὲ φυήν, οὔτ᾽ ἂρ φρένας οὔτέ τι ἔργα.
not in-build nor in-stature nor then in-mind nor at-all in-works
ἀλλὰ καὶ ὣς ἐθέλω δόμεναι πάλιν, εἰ τό γ᾽ ἄμεινον·
but even so I-am-willing to-give back if this indeed better
βούλομ᾽ ἐγὼ λαὸν σῶν ἔμμεναι ἢ ἀπολέσθαι·
wish I the-people safe to-be than to-perish
αὐτὰρ ἐμοὶ γέρας αὐτίχ᾽ ἑτοιμάσατ᾽, ὄφρα μὴ οἷος
but for-me a-prize at-once make-ready so-that not alone
Ἀργείων ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ἔοικε·
of-the-Argives prizeless I-may-be since not-even it-is-fitting
λεύσσετε γὰρ τό γε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλλῃ.”
you-see for this indeed all that my prize goes elsewhere

Achilles answers that the army has no common store to give from, and asks Agamemnon to release the girl for a threefold or fourfold return when Troy falls. Agamemnon threatens to take the prize of Achilles, Ajax, or Odysseus, and orders a ship made ready for Chryseis. Achilles calls him shameless and dog-faced: the Trojans never wronged him, and he came only to win honor for Menelaus and Agamemnon. Now he will sail home to Phthia. Agamemnon tells him to go, and says he will take Briseis himself.

Τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Him and answered then swift-footed noble Achilles
"Ἀτρεΐδη κύδιστε, φιλοκτεανώτατε πάντων,
son-of-Atreus most-glorious most-covetous of-all
πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
how for to-you will-give a-prize great-hearted Achaeans
οὐδέ τί που ἴδμεν ξυνήϊα κείμενα πολλά·
nor any somewhere we-know common-stores laid-up many
ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,
but the(-things) indeed from-the-cities we-plundered these have-been-divided
λαοὺς δ' οὐκ ἐπέοικε παλίλλογα ταῦτ' ἐπαγείρειν.
the-people and not it-is-fitting gathered-back these to-collect-again
ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες· αὐτὰρ Ἀχαιοὶ
but you indeed now this(-girl) to-the-god let-go but the-Achaeans
τριπλῇ τετραπλῇ τ' ἀποτείσομεν, αἴ κέ ποθι Ζεὺς
threefold fourfold and will-repay if — somewhere Zeus
δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι."
grant the-city of-Troy well-walled to-sack

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
Him and answering addressed lord Agamemnon
"μὴ δὴ οὕτως, ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
not indeed thus good though being godlike Achilles
κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.
deceive in-mind since not you-will-outstrip nor me persuade
ἦ ἐθέλεις, ὄφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ' αὖτως
truly you-wish so-that yourself you-may-have a-prize but me merely
ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ' ἀποδοῦναι;
to-sit lacking you-bid and me her to-give-back
ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί,
but if indeed will-give a-prize great-hearted Achaeans
ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται·
suiting(-it) to heart so-that equal-in-worth it-shall-be
εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
if and — not they-give I and — myself will-take
ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
either yours or of-Ajax going the-prize or of-Odysseus
ἄξω ἑλών· ὁ δέ κεν κεχολώσεται ὅν κεν ἵκωμαι.
I-will-lead having-taken he and — will-be-angry to-whom — I-come
ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις,
but truly indeed these-things we-will-consider and again
νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν,
now and come a-ship black let-us-drag into the-sea bright
ἐν δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ' ἑκατόμβην
in and rowers suitably let-us-gather in and a-hecatomb
θείομεν, ἂν δ' αὐτὴν Χρυσηΐδα καλλιπάρῃον
let-us-put on and herself Chryseis fair-cheeked
βήσομεν· εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω,
let-us-set one and some leader man of-counsel let-him-be

ἦ Αἴας ἦ Ἰδομενεὺς ἦ δῖος Ὀδυσσεὺς
either Ajax or Idomeneus or noble Odysseus
ἠὲ σύ, Πηλεΐδη, πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν,
or you son-of-Peleus of-all most-terrible of-men
ὄφρ᾽ ἡμῖν ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.”
so-that for-us the-far-worker you-may-appease sacred(-rites) having-done
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Him and then from-under looking addressed in-feet swift Achilles
“ὤ μοι, ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
ah me in-shamelessness clothed crafty-minded
πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν
how any to-you readily to-words may-obey of-the-Achaeans
ἢ ὁδὸν ἐλθέμεναι ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
either a-journey to-go or with-men mightily to-fight
οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ᾽ ἤλυθον αἰχμητάων
not for I of-the-Trojans for-the-sake came spearmen
δεῦρο μαχησόμενος, ἐπεὶ οὔ τί μοι αἴτιοί εἰσιν·
here to-fight since not at-all to-me to-blame are
οὐ γὰρ πώ ποτ᾽ ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους,
not for yet ever my cattle they-drove nor indeed horses
οὐδέ ποτ᾽ ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
nor ever in Phthia deep-soiled man-nurturing
καρπὸν ἐδηλήσαντ᾽, ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ
the-harvest ravaged since truly very many between
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα·
mountains both shadowy sea and echoing
ἀλλὰ σοί, ὦ μέγ᾽ ἀναιδές, ἅμ᾽ ἑσπόμεθ᾽, ὄφρα σὺ χαίρῃς,
but you O greatly shameless together we-followed so-that you may-rejoice
τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε, κυνῶπα,
honor seeking for-Menelaus for-you and dog-face

πρὸς Τρώων· τῶν οὔ τι μετατρέπῃ οὐδ' ἀλεγίζεις·
from the-Trojans this not at-all you-turn-to nor care
καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
and indeed for-me the-prize yourself to-take-away you-threaten
ᾧ ἔπι πολλὰ μόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
which for much I-labored gave(-it) and to-me the-sons of-the-Achaeans
οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ' Ἀχαιοὶ
not indeed to-you ever equal I-have a-prize whenever the-Achaeans
Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον·
of-the-Trojans sack well inhabited citadel
ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
but the indeed greater-part of-tumultuous war
χεῖρες ἐμαὶ διέπουσ'· ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,
hands my handle but if ever a-division comes
σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ' ὀλίγον τε φίλον τε
to-you the prize much greater I and small both dear and
ἔρχομ' ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.
come having(-it) to the-ships when — I-am-weary fighting
νῦν δ' εἶμι Φθίηνδ', ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
now and I-go to-Phthia since truly much better it-is
οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ' ὄΐω
home to-go with ships curved nor you I-think
ἐνθάδ' ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν."
here dishonored being wealth and riches to-draw-up

Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Him and answered then lord of-men Agamemnon
"φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ' ἔγωγε
flee by-all-means if to-you the-heart urges not you I-indeed
λίσσομαι εἵνεκ' ἐμεῖο μένειν· πάρ' ἔμοιγε καὶ ἄλλοι
beg for-the-sake of-me to-remain by me-indeed also others

οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.
who — me will-honor most and counselor Zeus

ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων·
most-hateful and to-me you-are of-Zeus-nurtured kings

αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε·
always for to-you strife both dear wars and battles and

εἰ μάλα καρτερός ἐσσι, θεός που σοὶ τό γ' ἔδωκεν·
if very strong you-are a-god surely to-you this indeed gave

οἴκαδ' ἰὼν σὺν νηυσί τε σῇς καὶ σοῖς ἑτάροισι
home going with ships both your and your comrades

Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω,
over-the-Myrmidons rule of-you and I not care

οὐδ' ὄθομαι κοτέοντος· ἀπειλήσω δέ τοι ὧδε·
nor do-I-heed angered I-will-threaten and to-you thus

ὡς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων,
as me robs-of Chryseis Phoebus Apollo

τὴν μὲν ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισι
her indeed I with ship both my and my comrades

πέμψω, ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον
will-send I and — will-lead Briseis fair-cheeked

αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας, ὄφρ' ἐῢ εἰδῇς
myself going to-the-hut — your prize so-that well you-may-know

ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος
how-much stronger I-am than-you may-shrink and also another

ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντην."
equal to-me to-declare(-himself) and to-liken(-himself) face-to-face

Achilles wonders whether to kill Agamemnon and is drawing his sword when Athena, sent by Hera, takes him by the hair, seen by him alone. She tells him to stop and abuse Agamemnon with words, promising him three times as many gifts for this outrage, and he obeys. He calls Agamemnon a drunkard and a coward who seizes the gifts of anyone who speaks against him, and swears by the staff in his hand that the Achaeans will long for him when they are dying under Hector.

Ὣς φάτο· Πηλεΐωνι δ' ἄχος γένετ', ἐν δέ οἱ ἦτορ
So he-spoke to-the-son-of-Peleus and grief arose in and his heart
στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν,
in-breast shaggy in-two-ways pondered
ἢ ὅ γε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
whether he indeed sword sharp having-drawn from-beside thigh
τοὺς μὲν ἀναστήσειεν, ὁ δ' Ἀτρεΐδην ἐναρίζοι,
them indeed should-make-rise he and the-son-of-Atreus should-slay
ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν.
or anger should-stop should-restrain and spirit
ἦος ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
while he these-things pondered in mind and in heart
ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἦλθε δ' Ἀθήνη
he-was-drawing and from sheath great sword came and Athena
οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη,
from-heaven forth for sent(-her) the-goddess white-armed Hera
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε·
both alike in-heart loving and caring-for and
στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλεΐωνα
she-stood and behind fair and by-the-hair seized the-son-of-Peleus
οἴῳ φαινομένη· τῶν δ' ἄλλων οὔ τις ὁρᾶτο·
to-him-alone appearing of-the and others not anyone saw(-her)

θάμβησεν δ' Ἀχιλεύς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
was-amazed and Achilles about and he-turned at-once and knew
Παλλάδ' Ἀθηναίην· δεινὼ δέ οἱ ὄσσε φάανθεν·
Pallas Athena terribly and her eyes shone
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
"τίπτ' αὖτ', αἰγιόχοιο Διὸς τέκος, εἰλήλουθας;
why again of-aegis-bearing Zeus child have-you-come
ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρεΐδαο;
truly so-that the-outrage you-may-see of-Agamemnon of-the-son-of-Atreus
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεσθαι ὀΐω·
but out to-you I-will-say this and also to-be-accomplished I-think
ᾗς ὑπεροπλίῃσι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ."
by-his-own arrogance soon — some-time life he-may-lose
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"ἦλθον ἐγὼ παύσουσα τὸ σὸν μένος, αἴ κε πίθηαι,
came I to-stop — your fury if — you-obey
οὐρανόθεν· πρὸ δέ μ' ἧκε θεὰ λευκώλενος Ἥρη
from-heaven forth and me sent the-goddess white-armed Hera
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε·
both alike in-heart loving and caring-for and
ἀλλ' ἄγε λῆγ' ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί·
but come cease from-strife nor sword draw with-hand
ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον ὡς ἔσεταί περ·
but truly with-words indeed reproach how it-will-be indeed
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
thus for I-will-declare this and also accomplished will-be

καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα
and some-day to-you thrice as-many will-be-present glorious gifts
ὕβριος εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν."
of-outrage for-the-sake this you and restrain-yourself obey and us
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Her and answering addressed in-feet swift Achilles
"χρὴ μὲν σφωΐτερόν γε, θεά, ἔπος εἰρύσσασθαι
it-is-needful indeed of-you-two indeed goddess the-word to-observe
καὶ μάλα περ θυμῷ κεχολωμένον· ὣς γὰρ ἄμεινον·
even very though in-heart angered so for better
ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ."
whoever — the-gods obeys very — they-hear him
Ἦ καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν,
He-spoke and on silver hilt held hand heavy
ἂψ δ' ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ' ἀπίθησε
back and into sheath thrust great sword nor disobeyed
μύθῳ Ἀθηναίης· ἡ δ' Οὔλυμπόνδε βεβήκει
the-word of-Athena she and to-Olympus had-gone
δώματ' ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους.
the-house to of-aegis-bearing Zeus among divinities other
Πηλεΐδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
the-son-of-Peleus and again with-baneful words
Ἀτρεΐδην προσέειπε, καὶ οὔ πω λῆγε χόλοιο·
the-son-of-Atreus addressed and not yet ceased from-anger
"οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
wine-heavy of-a-dog eyes having heart and of-a-deer

οὔτε ποτ' ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι
neither ever for war together-with the-people to-arm
οὔτε λόχονδ' ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν
nor to-ambush to-go with the-best of-the-Achaeans
τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἶδεται εἶναι.
have-you-dared in-heart this and to-you death seems to-be
ἦ πολὺ λώϊόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
truly much better it-is through army broad of-the-Achaeans
δῶρ' ἀποαιρεῖσθαι ὅς τις σέθεν ἀντίον εἴπῃ·
gifts to-take-away whoever any you against speaks
δημοβόρος βασιλεύς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
people-devouring king since over-nobodies you-rule
ἦ γὰρ ἄν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο.
truly for — son-of-Atreus now for-the-last-time you-would-outrage
ἀλλ' ἔκ τοι ἐρέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
but out to-you I-will-say and upon great oath will-swear
ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους
yes by this staff which indeed not ever leaves and shoots
φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
will-grow since indeed first its-cutting in mountains it-has-left
οὐδ' ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε
nor will-bloom-again around for then it bronze stripped
φύλλα τε καὶ φλοιόν· νῦν αὖτέ μιν υἱες Ἀχαιῶν
leaves both and bark now in-turn it the-sons of-the-Achaeans
ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵ τε θέμιστας
in palms carry judges who — ordinances
πρὸς Διὸς εἰρύαται· ὁ δέ τοι μέγας ἔσσεται ὅρκος·
from Zeus guard this and to-you great will-be oath

ἦ ποτ᾽ Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
truly some-day for-Achilles a-longing will-come-upon the-sons of-the-Achaeans
σύμπαντας· τότε δ᾽ οὔ τι δυνήσεαι ἀχνύμενός περ
all-together then and not at-all you-will-be-able grieving though
χραισμεῖν, εὖτ᾽ ἂν πολλοὶ ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο
to-help when — many beneath Hector man-slaying
θνήσκοντες πίπτωσι· σὺ δ᾽ ἔνδοθι θυμὸν ἀμύξεις
dying fall you and within heart will-tear
χωόμενος ὅ τ᾽ ἄριστον Ἀχαιῶν οὐδὲν ἔτεισας."
angered that — the-best of-the-Achaeans nothing you-honored

I.5 · NESTOR'S COUNSEL

Achilles throws down the staff, and Nestor, who has outlived two generations, rises to make peace. He recalls mightier heroes who heeded him, and asks Agamemnon not to take the girl and Achilles not to strive with a sceptered king. Agamemnon complains that Achilles wants to rule everyone. Achilles will not fight for the girl, but his spear will run with Agamemnon's blood if he takes anything else. Odysseus sails with Chryseis and a hecatomb, and the army purifies itself and sacrifices to Apollo.

Ὣς φάτο Πηλεΐδης, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ
So he-spoke the-son-of-Peleus to and the-staff threw on-the-ground
χρυσείοις ἥλοισι πεπαρμένον, ἕζετο δ᾽ αὐτός·
with-golden studs studded sat and himself
Ἀτρεΐδης δ᾽ ἑτέρωθεν ἐμήνιε· τοῖσι δὲ Νέστωρ
the-son-of-Atreus and on-the-other-side raged among-them and Nestor
ἡδυεπὴς ἀνόρουσε, λιγὺς Πυλίων ἀγορητής,
sweet-voiced sprang-up clear of-the-Pylians speaker
τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή·
of-whom also from tongue than-honey sweeter flowed voice

τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
for-him and already two indeed generations of-mortal men
ἐφθίαθ', οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο
had-perished who with-him before together were-reared and were-born
ἐν Πύλῳ ἠγαθέῃ, μετὰ δὲ τριτάτοισιν ἄνασσεν·
in Pylos sacred among and the-third he-was-ruling
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them with-good-intent addressed-the-assembly and spoke-among(-them)
"ὦ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει·
oh for-shame truly great grief the-Achaean land reaches
ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες
truly — would-rejoice Priam of-Priam and the-sons
ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ,
others and Trojans greatly — would-be-glad in-heart
εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν,
if of-you-two these-things all they-should-learn fighting
οἳ περὶ μὲν βουλὴν Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι.
who above indeed in-counsel of-the-Danaans above and are to-fight
ἀλλὰ πίθεσθ'· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο·
but obey both and younger are than-me
ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέ περ ὑμῖν
already for once I even with-better than indeed you
ἀνδράσιν ὡμίλησα, καὶ οὔ ποτέ μ' οἵ γ' ἀθέριζον.
men consorted and not ever me they indeed slighted
οὐ γάρ πω τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι,
not for yet such I-saw men nor shall-I-see
οἷον Πειρίθοόν τε Δρύαντά τε, ποιμένα λαῶν,
as Pirithous both Dryas and shepherd of-the-people
Καινέα τ' Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον,
Caeneus and Exadius both and godlike Polyphemus

Θησέα τ᾽ Αἰγεΐδην, ἐπιείκελον ἀθανάτοισιν·
Theseus and son-of-Aegeus like to-the-immortals
κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφεν ἀνδρῶν·
mightiest indeed those of-earthly were-reared men
κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο,
mightiest indeed they-were and with-the-mightiest they-fought
φηρσὶν ὀρεσκῴοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν.
with-beasts mountain-dwelling and terribly destroyed(-them)
καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθών,
and indeed with-them I consorted from Pylos having-come
τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί·
from-afar from distant land called(-me) for themselves
καὶ μαχόμην κατ᾽ ἔμ᾽ αὐτὸν ἐγώ· κείνοισι δ᾽ ἂν οὔ τις
and I-fought by my-own self I with-those and — not anyone
τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο·
of-those who now mortals are earthly would-fight
καὶ μέν μευ βουλέων ξύνιεν πείθοντό τε μύθῳ·
and indeed my counsels they-heeded obeyed and the-word
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·
but obey also you since to-obey better
μήτε σὺ τόνδ᾽ ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην,
neither you him good though being take-away the-girl
ἀλλ᾽ ἔα, ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν·
but let(-her-be) as to-him first gave(-her) as-prize the-sons of-the-Achaeans
μήτε σύ, Πηλεΐδη, ἔθελ᾽ ἐριζέμεναι βασιλῆϊ
nor you son-of-Peleus wish to-strive with-a-king
ἀντιβίην, ἐπεὶ οὔ ποθ᾽ ὁμοίης ἔμμορε τιμῆς
in-opposition since not ever of-equal has-had-a-share honor
σκηπτοῦχος βασιλεύς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.
a-staff-bearing king to-whom — Zeus glory gave

εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
if and you strong are a-goddess and you bore mother
ἀλλ' ὅ γε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
but he indeed mightier is since over-more he-rules
Ἀτρεΐδη, σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἔγωγε
son-of-Atreus you and stop your fury but I-indeed
λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
beg against-Achilles to-let-go anger who greatly for-all
ἕρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο."
a-bulwark to-the-Achaeans is of-war evil
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
Him and answering addressed lord Agamemnon
"ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες·
yes indeed these-things indeed all old-man according-to due you-spoke
ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων,
but this man wishes above all to-be others
πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ' ἀνάσσειν,
all indeed to-rule-over he-wishes all and to-be-lord-over
πᾶσι δὲ σημαίνειν, ἅ τιν' οὐ πείσεσθαι ὀΐω·
to-all and to-give-orders which anyone not to-obey I-think
εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
if and him a-spearman made the-gods always being
τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι;"
therefore him do-they-allow insults to-speak
Τὸν δ' ἄρ' ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς·
Him and then interrupting answered noble Achilles
"ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην,
truly for — a-coward both and nobody I-would-be-called
εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι ὅττι κεν εἴπῃς·
if indeed to-you every deed I-shall-yield whatever — you-say

ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο, μὴ γὰρ ἔμοιγε
to-others indeed these-things enjoin not for to-me-indeed
σήμαιν'· οὐ γὰρ ἔγωγ' ἔτι σοὶ πείσεσθαι ὀΐω.
give-orders not for I-indeed longer you to-obey I-think
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
another and to-you I-will-say you and in mind lay(-it) your
χερσὶ μὲν οὔ τοι ἔγωγε μαχήσομαι εἵνεκα κούρης
with-hands indeed not to-you I-indeed will-fight for-the-sake-of the-girl
οὔτε σοὶ οὔτε τῳ ἄλλῳ, ἐπεί μ' ἀφέλεσθέ γε δόντες·
neither with-you nor with-any other since me you-took-away indeed having-given
τῶν δ' ἄλλων ἅ μοί ἐστι θοῇ παρὰ νηῒ μελαίνῃ,
of-the(-things) and others which to-me are swift beside ship black
τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο·
of-these not — anything you-would-carry taking-up unwilling me
εἰ δ' ἄγε μὴν πείρησαι, ἵνα γνώωσι καὶ οἵδε·
if and come indeed try so-that may-know also these
αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί."
at-once your blood dark will-flow around the-spear
Ὣς τώ γ' ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσιν
So the-two indeed with-opposing having-fought words
ἀνστήτην, λῦσαν δ' ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν·
stood-up dissolved and the-assembly beside the-ships of-the-Achaeans
Πηλεΐδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἐΐσας
the-son-of-Peleus indeed to huts and ships balanced
ᾤϊε σύν τε Μενοιτιάδῃ καὶ οἷς ἑτάροισιν·
went with both the-son-of-Menoetius and his-own comrades
Ἀτρεΐδης δ' ἄρα νῆα θοὴν ἅλαδε προέρυσσεν,
the-son-of-Atreus and then a-ship swift to-the-sea drew-forward

ἐν δ' ἐρέτας ἔκρινεν ἐείκοσιν, ἐς δ' ἑκατόμβην
in and rowers chose twenty in and a-hecatomb
βῆσε θεῷ, ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον
put for-the-god up and Chryseis fair-cheeked
εἶσεν ἄγων· ἐν δ' ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς.
seated leading in and as-leader went of-many-wiles Odysseus
Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
They indeed then having-embarked sailed-over watery paths
λαοὺς δ' Ἀτρεΐδης ἀπολυμαίνεσθαι ἄνωγεν·
the-people and the-son-of-Atreus to-purify-themselves bade
οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματα βάλλον,
they and purified-themselves and into the-sea the-offscourings threw
ἔρδον δ' Ἀπόλλωνι τελήεσσας ἑκατόμβας
offered and to-Apollo perfect hecatombs
ταύρων ἠδ' αἰγῶν παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο·
of-bulls and of-goats beside the-shore of-the-sea barren
κνίση δ' οὐρανὸν ἶκεν ἑλισσομένη περὶ καπνῷ.
the-savor and heaven reached whirling around the-smoke

Agamemnon sends the heralds Talthybius and Eurybates to fetch Briseis. They stand silent and afraid before Achilles, who greets them kindly and has Patroclus bring the girl out. He makes them witnesses, before the gods, men, and the harsh king, against the day the army needs him to ward off ruin. Briseis goes unwillingly. Achilles sits weeping by the sea and calls on his mother, and Thetis rises from the depths to ask why he is grieving.

Ὣς οἱ μὲν τὰ πένοντο κατὰ στρατόν· οὐδ' Ἀγαμέμνων
So they indeed these-things were-busy-with through the-host nor Agamemnon
λῆγ' ἔριδος, τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ,
ceased from-strife which first he-threatened against-Achilles
ἀλλ' ὅ γε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέειπε, 320
but he indeed Talthybius both and Eurybates addressed
τώ οἱ ἔσαν κήρυκε καὶ ὀτρηρὰ θεράποντε·
the-two his were heralds and ready attendants
"ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος·
go to-the-hut of-the-son-of-Peleus Achilles
χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρῃον·
by-the-hand having-taken to-lead Briseis fair-cheeked
εἰ δέ κε μὴ δώῃσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
if and — not he-gives I and — myself will-take(-her)
ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται." 325
coming with more this for-him even more-chilling will-be
Ὣς εἰπὼν προΐει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
So having-spoken he-sent-forth strong and upon word laid
τὼ δ' ἀέκοντε βάτην παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο,
the-two and unwilling went along the-shore of-the-sea barren
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην.
of-the-Myrmidons and to — the-huts and ships came

τὸν δ' εὗρον παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
him and they-found beside — but and ship black
ἥμενον· οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς.
sitting nor then them indeed seeing rejoiced Achilles
τὼ μὲν ταρβήσαντε καὶ αἰδομένω βασιλῆα
the-two indeed fearing and revering the-king
στήτην, οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο·
stood nor at-all him addressed nor questioned
αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
but he knew his-own in mind spoke and
"χαίρετε, κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν,
hail heralds of-Zeus messengers and also of-men
ἆσσον ἴτ'· οὔ τί μοι ὔμμες ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνων,
nearer come not at-all to-me you to-blame but Agamemnon
ὃ σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
who you-two sent-forth of-Briseis for-the-sake the-girl
ἀλλ' ἄγε, διογενὲς Πατρόκλεες, ἔξαγε κούρην
but come Zeus-born Patroclus bring-out the-girl
καί σφωϊν δὸς ἄγειν· τὼ δ' αὐτὼ μάρτυροι ἔστων
and to-the-two give(-her) to-lead the-two and themselves witnesses let-them-be
πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων,
before both the-gods blessed before and mortal men
καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος, εἴ ποτε δὴ αὖτε
and before the king harsh if ever indeed again
χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
need of-me arise shameful ruin to-ward-off
τοῖς ἄλλοις· ἦ γὰρ ὅ γ' ὀλοιῇσι φρεσὶ θύει,
from-the others truly for he indeed with-baneful mind rages

οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
nor at-all knows to-consider together forward and backward
ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.”
how for-him beside the-ships safe may-fight the-Achaeans
Ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ’ ἑταίρῳ,
So he-spoke Patroclus and his-dear obeyed comrade
ἐκ δ’ ἄγαγε κλισίης Βρισηΐδα καλλιπάρῃον,
out and he-led from-the-hut Briseis fair-cheeked
δῶκε δ’ ἄγειν· τὼ δ’ αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν·
gave and to-lead the-two and back went beside the-ships of-the-Achaeans
ἡ δ’ ἀέκουσ’ ἅμα τοῖσι γυνὴ κίεν· αὐτὰρ Ἀχιλλεὺς
she and unwilling with them the-woman went but Achilles
δακρύσας ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς,
weeping from-his-comrades at-once sat apart withdrawing
θῖν’ ἔφ’ ἁλὸς πολιῆς, ὁρόων ἐπ’ ἀπείρονα πόντον·
the-shore on of-the-sea gray looking on boundless deep
πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς·
much and to-mother dear he-prayed hands stretching-out
“μῆτερ, ἐπεί μ’ ἔτεκές γε μινυνθάδιόν περ ἐόντα,
mother since me you-bore indeed short-lived though being
τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι
honor at-least to-me ought the-Olympian to-have-granted
Ζεὺς ὑψιβρεμέτης· νῦν δ’ οὐδέ με τυτθὸν ἔτεισεν·
Zeus thundering-on-high now and not-even me a-little has-honored
ἦ γάρ μ’ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
truly for me the-son-of-Atreus wide ruling Agamemnon
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.”
has-dishonored having-taken for he-holds the-prize himself having-robbed

Ὣς φάτο δάκρυ χέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ
So he-spoke tears shedding him and heard queenly mother
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι·
sitting in the-depths of-the-sea beside father old
καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς ἠΰτ' ὀμίχλη,
swiftly and she-rose-up from-the-gray sea like mist
καί ῥα πάροιθ' αὐτοῖο καθέζετο δάκρυ χέοντος,
and then before him sat tears shedding
χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
with-hand and him stroked word and spoke out and named(-him)
"τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
child why do-you-weep what and your heart has-reached grief
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω."
speak-out not hide in-mind so-that we-may-know both

I.7 · ACHILLES AND THETIS

Achilles tells his mother the story from the sack of Thebe to the taking of Briseis. He asks her to remind Zeus how she once saved him, when the other Olympians wanted to bind him, by summoning the hundred-handed Briareus. She must beg Zeus to help the Trojans until the Achaeans are pinned at their ships. Thetis weeps for her short-lived son, and promises to go to Olympus when Zeus returns from the Ethiopians in twelve days. Meanwhile he must stay out of the war.

Τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Her and heavily groaning addressed in-feet swift Achilles
"οἶσθα· τίη τοι ταῦτα ἰδυίῃ πάντ' ἀγορεύω;
you-know why to-you these-things knowing all do-I-tell
ὠχόμεθ' ἐς Θήβην, ἱερὴν πόλιν Ἠετίωνος,
we-went to Thebe sacred city of-Eetion

τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα·
it and we-sacked both and brought here all(-things)
καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
and these indeed well divided among themselves the-sons of-the-Achaeans
ἐκ δ' ἔλον Ἀτρεΐδῃ Χρυσηΐδα καλλιπάρῃον.
out and they-chose for-the-son-of-Atreus Chryseis fair-cheeked
Χρύσης δ' αὖθ' ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος
Chryses and then priest of-far-shooting Apollo
ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων
came swift to ships of-the-Achaeans bronze-coated
λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα,
to-ransom both daughter bringing and boundless ransom
στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
the-fillets holding in hands of-far-shooting Apollo
χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ λίσσετο πάντας Ἀχαιούς,
golden on staff and he-begged all Achaeans
Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν.
the-sons-of-Atreus and most the-two marshals of-the-people
ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
then others indeed all shouted-assent Achaeans
αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
to-respect both the-priest and glorious to-take ransom
ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἤνδανε θυμῷ,
but not to-the-son-of-Atreus Agamemnon it-pleased in-heart
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
but harshly he-sent-away strong and upon word laid
χωόμενος δ' ὁ γέρων πάλιν ᾤχετο· τοῖο δ' Ἀπόλλων
angered and the old-man back went him and Apollo
εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν,
praying heard since very to-him dear he-was

ἦκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
sent and on the-Argives an-evil shaft they and now the-people
θνῇσκον ἐπασσύτεροι, τὰ δ' ἐπῴχετο κῆλα θεοῖο
were-dying one-after-another these and went-about the-shafts of-the-god
πάντῃ ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν· ἄμμι δὲ μάντις
everywhere through army broad of-the-Achaeans to-us and a-seer
385 εὖ εἰδὼς ἀγόρευε θεοπροπίας ἑκάτοιο.
well knowing declared the-oracles of-the-far-shooter
αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι·
at-once I first bade the-god to-appease
Ἀτρεΐωνα δ' ἔπειτα χόλος λάβεν, αἶψα δ' ἀναστὰς
the-son-of-Atreus and then anger seized quickly and standing-up
ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστί·
he-threatened a-word which indeed accomplished is
τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἑλίκωπες Ἀχαιοὶ
her indeed for with ship swift bright-eyed Achaeans
390 ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι·
to Chryse are-sending they-bring and gifts for-the-lord
τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
her and just-now from-the-hut went heralds leading
κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
the-girl of-Briseus whom to-me gave the-sons of-the-Achaeans
ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑῆος·
but you if you-are-able indeed protect son good
ἐλθοῦσ' Οὔλυμπόνδε Δία λίσαι, εἴ ποτε δή τι
going to-Olympus Zeus beseech if ever indeed at-all
395 ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργῳ.
either by-word you-aided the-heart of-Zeus or also by-deed

πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
often for you of-father in halls I-heard
εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι
boasting when you-said to-the-dark-clouded son-of-Cronus
οἴῃ ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
alone among immortals shameful ruin to-ward-off
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
when him to-bind the-Olympians wished others
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη·
Hera both and Poseidon and Pallas Athena
ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
but you him indeed coming goddess loosed from-bonds
ὦχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον,
quickly the-hundred-handed having-called to high Olympus
ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες
whom Briareus call the-gods men and — all
Αἰγαίων' — ὁ γὰρ αὖτε βίην οὗ πατρὸς ἀμείνων —
Aegaeon he for in-turn in-might than-his father better
ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων·
who then beside the-son-of-Cronus sat in-glory exulting
τὸν καὶ ὑπέδεισαν μάκαρες θεοὶ οὐδ' ἔτ' ἔδησαν.
him and feared the-blessed gods nor longer bound(-him)
τῶν νῦν μιν μνήσασα παρέζεο καὶ λαβὲ γούνων,
of-these now him having-reminded sit-beside and clasp the-knees
αἴ κέν πως ἐθέλῃσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
if — somehow he-should-wish for the-Trojans to-help
τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἔλσαι Ἀχαιοὺς
those and down-at sterns both and around the-sea to-pen the-Achaeans
κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
being-slain so-that all may-have-enjoyment of-the-king

γνῷ δὲ καὶ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
may-know and also the-son-of-Atreus wide ruling Agamemnon
ἣν ἄτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτεισεν."
his-own folly that — the-best of-the-Achaeans nothing he-honored
Τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα·
Him and answered then Thetis down tears shedding
"ὤ μοι τέκνον ἐμόν, τί νύ σ' ἔτρεφον αἰνὰ τεκοῦσα;
ah me child my why now you I-reared terribly having-borne
415 αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων
if-only you-had beside the-ships tearless and unharmed
ἧσθαι, ἐπεί νύ τοι αἶσα μίνυνθά περ, οὔ τι μάλα δήν·
sat since now to-you the-portion short though not at-all very long
νῦν δ' ἅμα τ' ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων
now and at-once both swift-fated and wretched beyond all
ἔπλεο· τῷ σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισι.
you-are therefore you to-evil fate I-bore in halls
τοῦτο δέ τοι ἐρέουσα ἔπος Διὶ τερπικεραύνῳ
this and to-you to-tell word to-Zeus delighting-in-thunder
420 εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴ κε πίθηται.
I-will-go myself to Olympus snow-capped if — he-obeys
ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι
but you indeed now the-ships sitting-beside swift-faring
μήνι' Ἀχαιοῖσιν, πολέμου δ' ἀποπαύεο πάμπαν·
rage against-the-Achaeans from-war and cease altogether
Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Zeus for to Ocean among blameless Ethiopians
χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο·
yesterday went for a-feast the-gods and together all followed
425 δωδεκάτῃ δέ τοι αὖτις ἐλεύσεται Οὐλυμπόνδε,
on-the-twelfth and to-you again he-will-come to-Olympus

καὶ τότ᾽ ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ,
and then thereupon for-you I-will-go of-Zeus to bronze-floored house
καί μιν γουνάσομαι καί μιν πείσεσθαι ὀΐω."
and him I-will-clasp-by-the-knees and him to-be-persuaded I-think

I.8 · CHRYSEIS RETURNED

Thetis leaves Achilles angry over the girl taken from him. Odysseus brings the ship into the harbor at Chryse and gives the girl to her father, who joyfully takes her back. Chryses prays to Apollo to end the plague, and the god hears him. The Achaeans sacrifice, feast, and sing the paean all day. They sleep by the ship, sail at dawn on a wind Apollo sends, and draw the ship up at the camp.

Ὣς ἄρα φωνήσασ᾽ ἀπεβήσετο, τὸν δὲ λίπ᾽ αὐτοῦ
So then having-spoken she-went-away him and left there
χωόμενον κατὰ θυμὸν ἐϋζώνοιο γυναικός,
angered in heart for-the-well-girdled woman
τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων· αὐτὰρ Ὀδυσσεὺς
whom then by-force unwilling they-took-away but Odysseus
ἐς Χρύσην ἵκανεν ἄγων ἱερὴν ἑκατόμβην.
to Chryse came leading sacred hecatomb
οἱ δ᾽ ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,
they and when indeed of-the-harbor very-deep within came
ἱστία μὲν στείλαντο, θέσαν δ᾽ ἐν νηῒ μελαίνῃ,
the-sails indeed furled put(-them) and in ship black
ἱστὸν δ᾽ ἱστοδόκῃ πέλασαν προτόνοισιν ὑφέντες
the-mast and to-the-mast-crutch brought by-the-forestays lowering(-it)
καρπαλίμως, τὴν δ᾽ εἰς ὅρμον προέρεσσαν ἐρετμοῖς.
swiftly her and into the-anchorage rowed-forward with-oars
ἐκ δ᾽ εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι᾽ ἔδησαν·
out and anchor-stones they-threw down and stern-cables they-tied

ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης,
out and also themselves went on the-surf-line of-the-sea
ἐκ δ' ἑκατόμβην βῆσαν ἑκηβόλῳ Ἀπόλλωνι·
out and the-hecatomb they-set for-the-far-shooting Apollo
ἐκ δὲ Χρυσηΐς νηὸς βῆ ποντοπόροιο.
out and Chryseis from-the-ship went seafaring
τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεὺς
her indeed then to altar leading of-many-wiles Odysseus
πατρὶ φίλῳ ἐν χερσὶ τίθει, καί μιν προσέειπεν·
to-father dear in hands placed and him addressed
"ὦ Χρύση, πρό μ' ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
O Chryses forth me sent lord of-men Agamemnon
παῖδά τε σοὶ ἀγέμεν, Φοίβῳ θ' ἱερὴν ἑκατόμβην
child both to-you to-lead to-Phoebus and sacred hecatomb
ῥέξαι ὑπὲρ Δαναῶν, ὄφρ' ἱλασόμεσθα ἄνακτα,
to-offer on-behalf-of the-Danaans so-that we-may-appease the-lord
ὃς νῦν Ἀργείοισι πολύστονα κήδε' ἐφῆκεν."
who now upon-the-Argives grievous sorrows has-sent
Ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὁ δὲ δέξατο χαίρων
So having-spoken in hands he-placed(-her) he and received rejoicing
παῖδα φίλην· τοὶ δ' ὦκα θεῷ ἱερὴν ἑκατόμβην
child dear they and quickly for-the-god sacred hecatomb
ἑξείης ἔστησαν ἐϋδμητον περὶ βωμόν,
in-order set well-built around altar
χερνίψαντο δ' ἔπειτα καὶ οὐλοχύτας ἀνέλοντο.
washed-hands and then and barley-grains took-up
τοῖσιν δὲ Χρύσης μεγάλ' εὔχετο χεῖρας ἀνασχών·
among-them and Chryses loudly prayed hands holding-up

"κλῦθί μευ, ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας
hear me silver-bowed who Chryse guard
Κίλλαν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις·
Cilla both most-holy of-Tenedos and mightily rule
ἠμὲν δή ποτ' ἐμεῦ πάρος ἔκλυες εὐξαμένοιο,
both truly once me before you-heard praying
τίμησας μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν·
you-honored indeed me greatly and you-smote the-people of-the-Achaeans
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
and still also now for-me this fulfill wish
ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον."
already now from-the-Danaans shameful ruin ward-off
Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.
So he-spoke praying him and heard Phoebus Apollo
αὐτὰρ ἐπεί ῥ' εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
but when then they-prayed and barley-grains threw-forward
αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
they-drew-back(-the-heads) indeed first and slaughtered and flayed
μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν
thighs and cut-out down and with-fat covered(-them)
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν·
double having-made on them and placed-raw-pieces
καῖε δ' ἐπὶ σχίζης ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
burned and on billets the old-man on and sparkling wine
λείβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
poured young-men and beside him held five-pronged-forks in-hands
αὐτὰρ ἐπεὶ κατὰ μῆρε κάη καὶ σπλάγχνα πάσαντο,
but when down thighs were-burned and the-entrails they-tasted
μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
cut-up and then the-rest and around spits pierced(-them)

ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
roasted and carefully drew-off and all
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα,
but when they-ceased from-toil had-prepared and the-feast
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
they-feasted nor at-all heart lacked of-feast equal
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-had-put
κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο,
youths indeed bowls filled-to-the-brim with-drink
νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν·
distributed and then to-all having-poured-first-drops in-cups
οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο
they and all-day-long with-song the-god appeased
καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν,
fair singing a-paean youths of-the-Achaeans
μέλποντες ἑκάεργον· ὁ δὲ φρένα τέρπετ' ἀκούων.
hymning the-far-worker he and in-mind delighted hearing
Ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
When and the-sun set and on darkness came
δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός·
indeed then they-lay-down beside the-stern-cables of-the-ship
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
when and early-born appeared rosy-fingered Dawn
καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν·
and then thereupon they-put-out for the-army broad of-the-Achaeans
τοῖσιν δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων·
to-them and favorable wind sent the-far-worker Apollo
οἱ δ' ἱστὸν στήσαντ' ἀνά θ' ἱστία λευκὰ πέτασσαν,
they and the-mast set-up up and sails white spread

ἐν δ᾽ ἄνεμος πρῆσεν μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
in and the-wind blew-into the-middle sail around and the-wave
στείρῃ πορφύρεον μεγάλ᾽ ἴαχε νηὸς ἰούσης·
at-the-stem dark-gleaming loudly roared of-the-ship going
ἡ δ᾽ ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
she and ran over the-wave accomplishing the-way
αὐτὰρ ἐπεί ῥ᾽ ἵκοντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,
but when then they-came to the-army broad of-the-Achaeans
νῆα μὲν οἵ γε μέλαιναν ἐπ᾽ ἠπείροιο ἔρυσσαν
the-ship indeed they indeed black on the-mainland drew
ὑψοῦ ἐπὶ ψαμάθοις, ὑπὸ δ᾽ ἔρματα μακρὰ τάνυσσαν·
high on the-sands under and props long stretched
αὐτοὶ δὲ σκίδναντο κατὰ κλισίας τε νέας τε.
themselves and scattered among huts both ships and

I.9 · THETIS SUPPLICATES ZEUS

Achilles sits apart, longing for battle. On the twelfth day Thetis goes up to Olympus, clasps Zeus' knees, and begs him to give the Trojans victory until the Achaeans honor her son. Zeus fears Hera's anger, then nods his assent, and Olympus shakes.

Αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι
But he raged the-ships sitting-beside swift-faring
διογενὴς Πηλῆος υἱός, πόδας ὠκὺς Ἀχιλλεύς·
Zeus-born of-Peleus son in-feet swift Achilles

οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν
neither ever to the-assembly did-he-go glory-giving
οὔτε ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
nor ever to war but he-wasted-away dear heart
αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.
there remaining he-longed and for-the-war-cry both battle and
Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώς,
But when indeed then from that the-twelfth arose dawn
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες
and then indeed to Olympus went the-gods always being
πάντες ἅμα, Ζεὺς δ' ἦρχε· Θέτις δ' οὐ λήθετ' ἐφετμέων
all together Zeus and led Thetis and not forgot the-behests
παιδὸς ἑοῦ, ἀλλ' ἥ γ' ἀνεδύσετο κῦμα θαλάσσης.
of-son her-own but she indeed rose-up-from the-wave of-the-sea
ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε.
early and she-went-up great heaven Olympus and
εὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων
found and far-seeing the-son-of-Cronus apart sitting from-others
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο·
on-the-highest peak of-many-ridged Olympus
καί ῥα πάροιθ' αὐτοῖο καθέζετο, καὶ λάβε γούνων
and then before him sat and clasped the-knees
σκαιῇ, δεξιτερῇ δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα
with-the-left with-the-right and then under the-chin having-taken(-him)
λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα·
beseeching she-addressed Zeus son-of-Cronus lord
"Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα
Zeus father if ever indeed you among the-immortals I-aided
ἢ ἔπει ἢ ἔργῳ, τόδε μοι κρήηνον ἐέλδωρ·
either by-word or by-deed this for-me fulfill wish

τίμησόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων
honor for-me the-son who most-swift-fated of-others
ἔπλετ'· ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
is but him now indeed lord of-men Agamemnon
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
has-dishonored having-taken for he-holds the-prize himself having-robbed
ἀλλὰ σύ πέρ μιν τεῖσον, Ὀλύμπιε μητίετα Ζεῦ·
but you indeed him honor Olympian counselor Zeus
τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ' ἂν Ἀχαιοὶ
so-long and on the-Trojans put might until — the-Achaeans
υἱὸν ἐμὸν τείσωσιν ὀφέλλωσίν τέ ἑ τιμῇ."
son my honor exalt and him with-honor

Ὣς φάτο· τὴν δ' οὔ τι προσέφη νεφεληγερέτα Ζεύς,
So she-spoke her and not at-all addressed cloud-gatherer Zeus
ἀλλ' ἀκέων δὴν ἧστο· Θέτις δ' ὡς ἥψατο γούνων,
but in-silence long sat Thetis and as she-clasped the-knees
ὣς ἔχετ' ἐμπεφυυῖα, καὶ εἴρετο δεύτερον αὖτις·
so held clinging and asked a-second-time again
"νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον,
unerringly indeed truly to-me promise and nod-assent
ἢ ἀπόειπ', ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ' εὖ εἰδέω
or refuse since not to-you is fear so-that well I-may-know
ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι."
how-much I among all most-dishonored goddess am

Τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Her and greatly vexed addressed cloud-gatherer Zeus
"ἦ δὴ λοίγια ἔργ' ὅ τέ μ' ἐχθοδοπῆσαι ἐφήσεις
truly indeed ruinous deeds that — me to-quarrel you-will-make
Ἥρῃ, ὅτ' ἄν μ' ἐρέθῃσιν ὀνειδείοις ἐπέεσσιν·
with-Hera when — me she-provokes with-reproachful words

ἡ δὲ καὶ αὕτως μ᾽ αἰεὶ ἐν ἀθανάτοισι θεοῖσι
she and even so me always among immortal gods
νεικεῖ, καί τέ μέ φησι μάχῃ Τρώεσσιν ἀρήγειν.
upbraids and — me says in-battle the-Trojans to-help
ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε, μή τι νοήσῃ
but you indeed now again go-back lest at-all she-notice
Ἥρη· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω·
Hera to-me and — these-things will-be-a-care until I-accomplish(-them)
εἰ δ᾽ ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς·
if and come to-you with-the-head I-will-nod so-that you-may-trust
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ᾽ ἀθανάτοισι μέγιστον
this for from me indeed among the-immortals greatest
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ᾽ ἀπατηλὸν
sign not for mine revocable nor deceitful
οὐδ᾽ ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύσω.”
nor unfulfilled what any — with-head I-nod-assent
Ἦ καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων·
He-spoke and dark on brows nodded the-son-of-Cronus
ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
ambrosial and then locks streamed-forward of-the-lord
κρατὸς ἀπ᾽ ἀθανάτοιο· μέγαν δ᾽ ἐλέλιξεν Ὄλυμπον.
the-head from immortal great and he-shook Olympus

Hera has seen Thetis with Zeus and taunts him for keeping his plans from her. Zeus tells her to sit in silence or no god on Olympus will save her from his hands. The gods are troubled, and Hephaestus urges his mother to give way, reminding her how Zeus once threw him from heaven to Lemnos. Hera smiles and takes the cup from him, and the gods laugh as he bustles about pouring nectar. They feast till sunset while Apollo and the Muses sing, then go to bed, and Zeus sleeps beside Hera.

Τώ γ' ὣς βουλεύσαντε διέτμαγεν· ἡ μὲν ἔπειτα
The-two indeed so having-taken-counsel parted she indeed then
εἰς ἅλα ἅλτο βαθεῖαν ἀπ' αἰγλήεντος Ὀλύμπου,
into the-sea leapt deep from gleaming Olympus
Ζεὺς δὲ ἑὸν πρὸς δῶμα· θεοὶ δ' ἅμα πάντες ἀνέσταν
Zeus and his-own to house the-gods and together all rose-up
ἐξ ἑδέων σφοῦ πατρὸς ἐναντίον· οὐδέ τις ἔτλη
from seats of-their father before nor anyone dared
μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες. 535
to-await(-him) approaching but to-meet(-him) stood all
ὣς ὁ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου· οὐδέ μιν Ἥρη
so he indeed there sat on throne nor him Hera
ἠγνοίησεν ἰδοῦσ' ὅτι οἱ συμφράσσατο βουλὰς
failed-to-know having-seen that with-him had-devised counsels
ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος·
silver-footed Thetis daughter of-the-sea old-man
αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα·
at-once with-mocking(-words) Zeus son-of-Cronus addressed
"τίς δὴ αὖ τοι, δολομῆτα, θεῶν συμφράσσατο βουλάς; 540
who now again with-you crafty-one of-the-gods has-devised counsels

αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπονόσφιν ἐόντα
always to-you dear it-is me far-away being
κρυπτάδια φρονέοντα δικαζέμεν· οὐδέ τί πώ μοι
secret(-things) devising to-decide nor at-all yet to-me
πρόφρων τέτληκας εἰπεῖν ἔπος ὅττι νοήσῃς."
readily have-you-dared to-tell a-word what-any you-think
Τὴν δ' ἠμείβετ' ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε·
Her and answered then father of-men both of-gods and
545 "Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
Hera not indeed all my hope words
εἰδήσειν· χαλεποί τοι ἔσοντ' ἀλόχῳ περ ἐούσῃ·
to-know hard for-you they-will-be wife though being
ἀλλ' ὃν μέν κ' ἐπιεικὲς ἀκουέμεν, οὔ τις ἔπειτα
but which indeed — fitting to-hear not anyone then
οὔτε θεῶν πρότερος τόν γ' εἴσεται οὔτ' ἀνθρώπων·
neither of-gods sooner it indeed will-know nor of-men
ὃν δέ κ' ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆσαι,
which and — I apart from-the-gods wish to-devise
550 μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα."
not at-all you these-things each ask nor inquire
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Him and answered then ox-eyed queenly Hera
"αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
most-dread son-of-Cronus what — word you-spoke
καὶ λίην σε πάρος γ' οὔτ' εἴρομαι οὔτε μεταλλῶ,
and exceedingly you before indeed neither I-ask nor inquire
ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεαι ἅσσα θέλῃσθα.
but very at-ease the(-things) you-devise whatever you-wish

νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα μή σε παρείπῃ
now and terribly I-fear in mind lest you may-talk-over
ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος·
silver-footed Thetis daughter of-the-sea old-man
ἠερίη γὰρ σοί γε παρέζετο καὶ λάβε γούνων·
early for by-you indeed she-sat and clasped the-knees
τῇ σ' ὀΐω κατανεῦσαι ἐτήτυμον ὡς Ἀχιλῆα
to-her you I-think to-have-nodded truly that Achilles
τιμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν."
you-will-honor destroy and many beside the-ships of-the-Achaeans
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
"δαιμονίη, αἰεὶ μὲν ὀΐεαι, οὐδέ σε λήθω·
strange-one always indeed you-suspect nor you I-escape
πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ
to-accomplish and nevertheless not at-all you-will-be-able but from heart
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
more to-me you-will-be this and to-you even more-chilling will-be
εἰ δ' οὕτω τοῦτ' ἐστίν, ἐμοὶ μέλλει φίλον εἶναι·
if and so this is to-me it-must dear be
ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ,
but in-silence sit my and obey word
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
lest now to-you not avail as-many-as gods are on Olympus
ἆσσον ἰόντ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω."
nearer coming when — on-you irresistible hands I-lay
Ὣς ἔφατ', ἔδεισεν δὲ βοῶπις πότνια Ἥρη,
So he-spoke feared and ox-eyed queenly Hera
καί ῥ' ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ·
and then in-silence sat having-bent dear heart

ὄχθησαν δ᾽ ἀνὰ δῶμα Διὸς θεοὶ Οὐρανίωνες·
were-troubled and through the-house of-Zeus the-gods heavenly
τοῖσιν δ᾽ Ἥφαιστος κλυτοτέχνης ἦρχ᾽ ἀγορεύειν,
among-them and Hephaestus famed-craftsman began to-speak
μητρὶ φίλῃ ἐπὶ ἦρα φέρων, λευκωλένῳ Ἥρῃ·
to-mother dear (showing) kindness bringing white-armed Hera
"ἦ δὴ λοίγια ἔργα τάδ᾽ ἔσσεται οὐδ᾽ ἔτ᾽ ἀνεκτά,
truly indeed ruinous deeds these will-be nor longer bearable
εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
if indeed you-two for-the-sake of-mortals quarrel thus
ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτὸς
among and the-gods a-brawl you-drive nor at-all of-the-feast
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
good will-be pleasure since the worse prevails
μητρὶ δ᾽ ἐγὼ παράφημι, καὶ αὐτῇ περ νοεούσῃ,
to-mother and I advise even herself though understanding
πατρὶ φίλῳ ἐπὶ ἦρα φέρειν Διί, ὄφρα μὴ αὖτε
to-father dear (showing) kindness to-bring to-Zeus so-that not again
νεικείῃσι πατήρ, σὺν δ᾽ ἡμῖν δαῖτα ταράξῃ.
may-upbraid(-her) father with and for-us the-feast confound
εἴ περ γάρ κ᾽ ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς
if indeed for — he-should-wish the-Olympian lightning-hurler
ἐξ ἑδέων στυφελίξαι· ὁ γὰρ πολὺ φέρτατός ἐστιν·
from the-seats to-thrust(-us) he for much mightiest is
ἀλλὰ σὺ τόν γ᾽ ἐπέεσσι καθάπτεσθαι μαλακοῖσιν·
but you him indeed with-words to-touch gentle
αὐτίκ᾽ ἔπειθ᾽ ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν."
at-once then gracious the-Olympian will-be to-us

Ὣς ἄρ᾽ ἔφη, καὶ ἀναΐξας δέπας ἀμφικύπελλον
So then he-spoke and springing-up a-cup double-handled
μητρὶ φίλῃ ἐν χειρὶ τίθει, καί μιν προσέειπε·
to-mother dear in hand placed and her addressed
"τέτλαθι, μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ,
endure mother my and bear-up grieving though
μή σε φίλην περ ἐοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι
lest you dear though being in eyes I-see
θεινομένην, τότε δ᾽ οὔ τι δυνήσομαι ἀχνύμενός περ
struck then and not at-all I-will-be-able grieving though
χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι·
to-help hard for the-Olympian to-oppose
ἤδη γάρ με καὶ ἄλλοτ᾽ ἀλεξέμεναι μεμαῶτα
already for me also another-time to-defend(-you) eager
ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο,
he-hurled by-the-foot having-seized from threshold divine
πᾶν δ᾽ ἦμαρ φερόμην, ἅμα δ᾽ ἠελίῳ καταδύντι
all and day I-was-carried together and with-the-sun setting
κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ᾽ ἔτι θυμὸς ἐνῆεν·
I-fell in Lemnos little and still breath was-in(-me)
ἔνθα με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα."
there me Sintian men at-once tended fallen
Ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη,
So he-spoke smiled and the-goddess white-armed Hera
μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον·
smiling and from-her-son received with-hand the-cup
αὐτὰρ ὁ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
but he to-the other gods from-left-to-right all
οἰνοχόει γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων·
poured-wine sweet nectar from the-bowl drawing

ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
unquenchable and then arose laughter among-the-blessed gods
ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
as they-saw Hephaestus through the-house bustling
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
So then indeed all day till the-sun setting
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
they-feasted nor at-all heart lacked of-feast equal
οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ᾽ Ἀπόλλων,
not indeed of-the-lyre very-fair which held Apollo
Μουσάων θ᾽, αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
of-the-Muses and who sang answering with-voice fair
Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
But when set the-bright light of-the-sun
οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος,
they indeed going-to-lie-down went homeward each
ἧχι ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
where for-each a-house the-very-famed lame-one
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσι·
Hephaestus had-made with-knowing skill
Ζεὺς δὲ πρὸς ὃν λέχος ᾗϊ᾽ Ὀλύμπιος ἀστεροπητής,
Zeus and to his-own bed went the-Olympian lightning-hurler
ἔνθα πάρος κοιμᾶθ᾽ ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
where before he-lay when him sweet sleep came-upon
ἔνθα καθεῦδ᾽ ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη.
there he-slept having-gone-up beside and golden-throned Hera

BOOK II

II.1 · THE DREAM

While gods and men sleep, Zeus decides how to honor Achilles and sends a baneful Dream to Agamemnon. Standing over him in the likeness of Nestor, the Dream tells him that the gods are no longer divided and that he can take Troy now if he arms the Achaeans in full force. Agamemnon wakes believing he will take the city that day, not knowing what Zeus intends, dresses, takes up his father's staff, and has the heralds call the army to assembly.

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
Others indeed then gods both and men horse-marshaling
εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος,
slept all-night Zeus and not held sweet sleep
ἀλλ' ὅ γε μερμήριζε κατὰ φρένα ὡς Ἀχιλῆα
but he indeed pondered in mind how Achilles
τιμήσῃ, ὀλέσῃ δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.
he-might-honor he-might-destroy and many beside the-ships of-the-Achaeans
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
this and to-him in heart best seemed counsel
πέμψαι ἐπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι οὖλον Ὄνειρον·
to-send to the-son-of-Atreus Agamemnon a-baneful Dream
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"βάσκ' ἴθι, οὖλε Ὄνειρε, θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
up go baneful Dream swift to ships of-the-Achaeans
ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
going into the-hut of-Agamemnon of-the-son-of-Atreus
πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ὡς ἐπιτέλλω·
all very truly to-declare as I-enjoin

θωρῆξαί ἑ κέλευε κάρη κομόωντας Ἀχαιοὺς
to-arm him bid on-head long-haired Achaeans
πανσυδίῃ· νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν
in-full-force now for — he-might-take the-city wide-streeted
Τρώων· οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες
of-the-Trojans not for longer divided Olympian homes having
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
the-immortals think she-has-bent for all
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται."
Hera beseeching on-the-Trojans and sorrows are-fastened
Ὣς φάτο, βῆ δ' ἄρ' Ὄνειρος, ἐπεὶ τὸν μῦθον ἄκουσε·
So he-spoke went and then the-Dream when the word it-heard
καρπαλίμως δ' ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν,
swiftly and it-reached swift to ships of-the-Achaeans
βῆ δ' ἄρ' ἐπ' Ἀτρεΐδην Ἀγαμέμνονα· τὸν δὲ κίχανεν
went and then to the-son-of-Atreus Agamemnon him and it-found
εὕδοντ' ἐν κλισίῃ, περὶ δ' ἀμβρόσιος κέχυθ' ὕπνος.
sleeping in the-hut around and ambrosial was-shed sleep
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς Νηληΐῳ υἱῖ ἐοικώς,
it-stood and then above head to-the-Neleian son like
Νέστορι, τόν ῥα μάλιστα γερόντων τῖ' Ἀγαμέμνων·
to-Nestor whom then most of-the-elders honored Agamemnon
τῷ μιν ἐεισάμενος προσεφώνεε θεῖος Ὄνειρος·
to-him him having-likened addressed divine Dream
"εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο·
you-sleep of-Atreus son wise horse-taming
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
not it-is-needful all-night to-sleep a-counsel-bearing man
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε·
to-whom the-people both are-entrusted and so-many-things are-a-care

νῦν δ᾽ ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
now and me heed quickly of-Zeus and to-you messenger I-am
ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ᾽ ἐλεαίρει.
who for-you apart being greatly cares and pities
θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
to-arm you he-bade on-head long-haired Achaeans
πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
in-full-force now for — you-might-take the-city wide-streeted
Τρώων· οὐ γὰρ ἔτ᾽ ἀμφὶς Ὀλύμπια δώματ᾽ ἔχοντες
of-the-Trojans not for longer divided Olympian homes having
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
the-immortals think she-has-bent for all
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε᾽ ἐφῆπται
Hera beseeching on-the-Trojans and sorrows are-fastened
ἐκ Διός· ἀλλὰ σὺ σῇσιν ἔχε φρεσί, μηδέ σε λήθη
from Zeus but you in-your-own keep(-this) mind nor you forgetfulness
αἱρείτω, εὖτ᾽ ἄν σε μελίφρων ὕπνος ἀνήῃ."
let-seize when — you honey-sweet sleep releases
Ὣς ἄρα φωνήσας ἀπεβήσετο, τὸν δ᾽ ἔλιπ᾽ αὐτοῦ
So then having-spoken it-went-away him and left there
τὰ φρονέοντ᾽ ἀνὰ θυμὸν ἃ ῥ᾽ οὐ τελέεσθαι ἔμελλον·
these-things thinking in heart which then not to-be-accomplished were-destined
φῂ γὰρ ὅ γ᾽ αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ,
he-thought for he indeed to-take of-Priam city on-day that
νήπιος, οὐδὲ τὰ ᾔδη ἃ ῥα Ζεὺς μήδετο ἔργα·
fool nor the(-things) he-knew which then Zeus was-devising deeds
θήσειν γὰρ ἔτ᾽ ἔμελλεν ἐπ᾽ ἄλγεά τε στοναχάς τε
to-put for still he-was-about on pains both groans and
Τρωσί τε καὶ Δαναοῖσι διὰ κρατερὰς ὑσμίνας.
on-the-Trojans both and the-Danaans through mighty combats

ἔγρετο δ᾽ ἐξ ὕπνου, θείη δέ μιν ἀμφέχυτ᾽ ὀμφή·
he-woke and from sleep divine and him was-poured-around the-voice
ἕζετο δ᾽ ὀρθωθείς, μαλακὸν δ᾽ ἔνδυνε χιτῶνα,
he-sat and having-risen-upright soft and put-on tunic
καλὸν νηγάτεον, περὶ δὲ μέγα βάλλετο φᾶρος·
fair new-made around and great threw cloak
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
feet and under shining bound fair sandals
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον·
around and then shoulders threw sword silver-studded
εἵλετο δὲ σκῆπτρον πατρώϊον, ἄφθιτον αἰεί·
took and the-staff ancestral imperishable ever
σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
with it went among the-ships of-the-Achaeans bronze-coated
Ἠὼς μέν ῥα θεὰ προσεβήσετο μακρὸν Ὄλυμπον,
Dawn indeed then the-goddess went-up-to high Olympus
Ζηνὶ φόως ἐρέουσα καὶ ἄλλοις ἀθανάτοισιν·
to-Zeus light announcing and to-the-other immortals
αὐτὰρ ὁ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
but he the-heralds clear-voiced bade
κηρύσσειν ἀγορήνδε κάρη κομόωντας Ἀχαιούς·
to-summon to-the-assembly on-head long-haired Achaeans
οἱ μὲν ἐκήρυσσον, τοὶ δ᾽ ἠγείροντο μάλ᾽ ὦκα·
they indeed summoned they and gathered very quickly

Agamemnon first tells the elders his dream and says he will test the army by proposing flight while they hold the men back. Nestor agrees that the dream must be believed, since the king saw it. The army swarms to the assembly like bees, and nine heralds quiet it. Leaning on the staff that Hephaestus made, Agamemnon tells the men that Zeus has deceived him. The Achaeans outnumber the Trojans, he says, but the allies thwart him. Nine years have rotted the ships, and they should sail home.

Βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
A-council and first of-great-hearted he-seated elders
Νεστορέῃ παρὰ νηῒ Πυλοιγενέος βασιλῆος·
Nestor's beside ship of-the-Pylos-born king
τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἀρτύνετο βουλήν·
them he indeed having-called-together shrewd devised counsel
"κλῦτε, φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν Ὄνειρος
hear friends divine to-me in-sleep came Dream
ἀμβροσίην διὰ νύκτα· μάλιστα δὲ Νέστορι δίῳ
ambrosial through night most and to-Nestor noble
εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐώκει·
in-form both in-stature and in-build and most-nearly it-was-like
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί με πρὸς μῦθον ἔειπεν·
it-stood and then above head and me to word spoke
'εὕδεις, Ἀτρέος υἱὲ δαΐφρονος ἱπποδάμοιο·
you-sleep of-Atreus son wise horse-taming
οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
not it-is-needful all-night to-sleep a-counsel-bearing man
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε·
to-whom the-people both are-entrusted and so-many-things are-a-care
νῦν δ' ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι,
now and me heed quickly of-Zeus and to-you messenger I-am

ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει·
who for-you apart being greatly cares and pities
θωρῆξαί σε κέλευσε κάρη κομόωντας Ἀχαιοὺς
to-arm you he-bade on-head long-haired Achaeans
πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν
in-full-force now for — you-might-take the-city wide-streeted
Τρώων· οὐ γὰρ ἔτ' ἀμφὶς Ὀλύμπια δώματ' ἔχοντες
of-the-Trojans not for longer divided Olympian homes having
ἀθάνατοι φράζονται· ἐπέγναμψεν γὰρ ἅπαντας
the-immortals think she-has-bent for all
Ἥρη λισσομένη, Τρώεσσι δὲ κήδε' ἐφῆπται
Hera beseeching on-the-Trojans and sorrows are-fastened
ἐκ Διός· ἀλλὰ σὺ σῇσιν ἔχε φρεσίν.' ὣς ὁ μὲν εἰπὼν
from Zeus but you in-your-own keep(-this) mind so it indeed having-spoken
ᾤχετ' ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν.
went flying-away me and sweet sleep released
ἀλλ' ἄγετ', αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν·
but come if — somehow we-may-arm the-sons of-the-Achaeans
πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἢ θέμις ἐστί,
first and I with-words will-test(-them) as right it-is
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·
and to-flee with ships many-benched I-will-bid
ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν."
you and from-one-side another to-restrain(-them) with-words
Ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο, τοῖσι δ' ἀνέστη
Truly he indeed so having-spoken down then sat among-them and rose
Νέστωρ, ὅς ῥα Πύλοιο ἄναξ ἦν ἠμαθόεντος·
Nestor who then of-Pylos lord was sandy
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them with-good-intent addressed-the-assembly and spoke-among(-them)

"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
O friends of-the-Argives leaders and rulers
εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπε,
if indeed someone the dream of-the-Achaeans other had-told
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·
a-lie — we-would-call(-it) and would-turn-away rather
νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος Ἀχαιῶν εὔχεται εἶναι·
now and he-saw(-it) who by-far best of-the-Achaeans claims to-be
ἀλλ' ἄγετ', αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν."
but come if — somehow we-may-arm the-sons of-the-Achaeans
Ὣς ἄρα φωνήσας βουλῆς ἐξ ἦρχε νέεσθαι,
So then having-spoken from-the-council out led to-go
οἱ δ' ἐπανέστησαν πείθοντό τε ποιμένι λαῶν
they and stood-up obeyed and the-shepherd of-the-people
σκηπτοῦχοι βασιλῆες· ἐπεσσεύοντο δὲ λαοί.
the-sceptered kings were-hastening-on and the-people
ἠΰτε ἔθνεα εἶσι μελισσάων ἀδινάων,
as swarms go of-bees thronging
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων·
a-rock out-of hollow always anew coming
βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν·
in-clusters and they-fly on flowers of-spring
αἱ μέν τ' ἔνθα ἅλις πεποτήαται, αἱ δέ τε ἔνθα·
they indeed — here in-throngs have-flown they and — there

ὣς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων
so of-them the-tribes many the-ships from and the-huts
ἠϊόνος προπάροιθε βαθείης ἐστιχόωντο
of-the-beach before deep marched-in-line
ἰλαδὸν εἰς ἀγορήν· μετὰ δέ σφισιν Ὄσσα δεδήει
in-companies to the-assembly among and them Rumor blazed
ὀτρύνουσ' ἰέναι, Διὸς ἄγγελος· οἱ δ' ἀγέροντο.
urging(-them) to-go of-Zeus messenger they and gathered
τετρήχει δ' ἀγορή, ὑπὸ δὲ στεναχίζετο γαῖα
was-in-turmoil and the-assembly beneath and groaned the-earth
λαῶν ἱζόντων, ὅμαδος δ' ἦν· ἐννέα δέ σφεας
of-the-people sitting-down a-din and was nine and them
κήρυκες βοόωντες ἐρήτυον, εἴ ποτ' ἀϋτῆς
heralds shouting restrained if ever from-the-shouting
σχοίατ', ἀκούσειαν δὲ διοτρεφέων βασιλήων.
they-would-refrain would-hear and the-Zeus-nurtured kings
σπουδῇ δ' ἕζετο λαός, ἐρήτυθεν δὲ καθ' ἕδρας
with-effort and sat-down the-people were-held and in seats
παυσάμενοι κλαγγῆς· ἀνὰ δὲ κρείων Ἀγαμέμνων
having-ceased from-clamor up and lord Agamemnon
ἔστη σκῆπτρον ἔχων, τὸ μὲν Ἥφαιστος κάμε τεύχων.
stood the-staff holding which indeed Hephaestus labored making
Ἥφαιστος μὲν δῶκε Διὶ Κρονίωνι ἄνακτι,
Hephaestus indeed gave(-it) to-Zeus son-of-Cronus lord
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ ἀργεϊφόντῃ·
but then Zeus gave(-it) to-the-guide Argus-slayer
Ἑρμείας δὲ ἄναξ δῶκεν Πέλοπι πληξίππῳ,
Hermes and lord gave(-it) to-Pelops driver-of-horses
αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ' Ἀτρεΐ, ποιμένι λαῶν·
but he in-turn Pelops gave(-it) to-Atreus shepherd of-the-people

Ἀτρεὺς δὲ θνήσκων ἔλιπεν πολύαρνι Θυέστῃ,
Atreus and dying left(-it) to-rich-in-lambs Thyestes
αὐτὰρ ὁ αὖτε Θυέστ᾽ Ἀγαμέμνονι λεῖπε φορῆναι,
but he in-turn Thyestes to-Agamemnon left(-it) to-bear
πολλῇσιν νήσοισι καὶ Ἄργεϊ παντὶ ἀνάσσειν.
many islands and Argos all to-rule-over
τῷ ὅ γ᾽ ἐρεισάμενος ἔπε᾽ Ἀργείοισι μετηύδα·
on-it he indeed leaning words to-the-Argives spoke
“ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος, 110
O friends heroes Danaans attendants of-Ares
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
Zeus me greatly son-of-Cronus in-folly has-bound heavy
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
cruel who before indeed to-me promised and nodded-assent
Ἴλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι,
Ilium having-sacked well-walled to-return-home
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
now and evil deceit he-has-devised and me bids
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν. 115
inglorious Argos to-reach since many I-have-lost the-people
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
so somehow to-Zeus it-must over-mighty pleasing be
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
who indeed of-many cities has-loosed the-heads
ἠδ᾽ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
and still also will-loose of-him for the-power is greatest
αἰσχρὸν γὰρ τόδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
shameful for this indeed is even for-those-to-come to-learn

μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
in-vain thus such so-many and an-army of-the-Achaeans
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
unaccomplished war to-war and to-fight
ἀνδράσι παυροτέροισι, τέλος δ' οὔ πώ τι πέφανται·
with-men fewer the-end and not yet any has-appeared
εἴ περ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε,
if indeed for — we-should-wish Achaeans both Trojans and
ὅρκια πιστὰ ταμόντες, ἀριθμηθήμεναι ἄμφω,
oaths faithful having-cut to-be-numbered both
Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν,
the-Trojans indeed to-gather at-the-hearth as-many-as there-are
ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί,
we and into tens should-be-arranged Achaeans
Τρώων δ' ἄνδρα ἕκαστοι ἑλοίμεθα οἰνοχοεύειν,
of-the-Trojans and a-man each should-choose to-pour-wine
πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο.
many — tens would-lack a-wine-pourer
τόσσον ἐγώ φημι πλέας ἔμμεναι υἷας Ἀχαιῶν
so-much I say more to-be the-sons of-the-Achaeans
Τρώων, οἳ ναίουσι κατὰ πτόλιν· ἀλλ' ἐπίκουροι
than-the-Trojans who dwell in city but allies
πολλέων ἐκ πολίων ἐγχέσπαλοι ἄνδρες ἔασιν,
of-many from cities spear-wielding men are
οἵ με μέγα πλάζουσι καὶ οὐκ εἰῶσ' ἐθέλοντα
who me greatly drive-astray and not allow(-me) wishing
Ἰλίου ἐκπέρσαι εὖ ναιόμενον πτολίεθρον.
of-Ilium to-sack well inhabited citadel
ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί,
nine indeed have-gone of-Zeus great years

καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται·
and indeed the-timbers have-rotted of-the-ships and the-cables are-loosed
αἱ δέ που ἡμέτεραί τ᾽ ἄλοχοι καὶ νήπια τέκνα
they and somewhere our both wives and infant children
ἧατ᾽ ἐνὶ μεγάροις ποτιδέγμεναι· ἄμμι δὲ ἔργον
sit in halls awaiting(-us) for-us and the-work
αὔτως ἀκράαντον, οὗ εἵνεκα δεῦρ᾽ ἱκόμεσθα.
thus unaccomplished of-which for-the-sake here we-came
ἀλλ᾽ ἄγε θ᾽, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
but come as — I say let-us-obey all
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
let-us-flee with ships dear to native land
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν.”
not for longer Troy we-shall-take wide-streeted

II.3 · ODYSSEUS TURNS THE ARMY

The assembly heaves like the sea and the men run cheering to launch the ships. Hera sends Athena, who finds Odysseus standing grieved by his ship and tells him to stop the flight. Taking Agamemnon’s staff, he goes through the army, speaking gently to the chiefs and striking the common men with the staff, telling them that only one may be king. The army pours back to the assembly with a roar.

Ὣς φάτο, τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ὄρινε
So he-spoke of-them and the-heart in breasts he-stirred
πᾶσι μετὰ πληθύν, ὅσοι οὐ βουλῆς ἐπάκουσαν·
of-all among the-multitude as-many-as not the-council heard
κινήθη δ᾽ ἀγορὴ φὴ κύματα μακρὰ θαλάσσης,
was-moved and the-assembly like waves long of-the-sea

πόντου Ἰκαρίοιο, τὰ μέν τ' Εὖρός τε Νότος τε
of-the-deep Icarian which indeed — Eurus both Notus and
ὄρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων.
raised having-rushed-on of-father Zeus from the-clouds
ὡς δ' ὅτε κινήσῃ Ζέφυρος βαθὺ λήϊον ἐλθών,
as and when moves Zephyrus deep standing-grain coming
λάβρος ἐπαιγίζων, ἐπί τ' ἠμύει ἀσταχύεσσιν,
violent rushing-down over and it-bows with-its-ears
ὣς τῶν πᾶσ' ἀγορὴ κινήθη· τοὶ δ' ἀλαλητῷ
so of-them all the-assembly was-moved they and with-a-shout
νῆας ἔπ' ἐσσεύοντο, ποδῶν δ' ὑπένερθε κονίη
ships toward were-rushing of-feet and from-beneath the-dust
ἵστατ' ἀειρομένη· τοὶ δ' ἀλλήλοισι κέλευον
stood rising they and each-other bade
ἅπτεσθαι νηῶν ἠδ' ἑλκέμεν εἰς ἅλα δῖαν,
to-lay-hold-of the-ships and to-drag(-them) into the-sea bright
οὐρούς τ' ἐξεκάθαιρον· ἀϋτὴ δ' οὐρανὸν ἶκεν
the-trenches and they-cleared-out the-shout and heaven reached
οἴκαδε ἱεμένων· ὑπὸ δ' ἤρεον ἔρματα νηῶν.
homeward of-them-eager from-under and they-took the-props of-the-ships
Ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος ἐτύχθη,
Then — for-the-Argives beyond-fate a-return had-been-wrought
εἰ μὴ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔειπεν·
if not to-Athena Hera to word had-spoken
"ὤ πόποι, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη,
oh for-shame of-aegis-bearing Zeus child Unwearied-one
οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
thus indeed homeward dear to native land
Ἀργεῖοι φεύξονται ἐπ' εὐρέα νῶτα θαλάσσης,
the-Argives will-flee over broad backs of-the-sea

κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιεν
down and — a-boast to-Priam and to-the-Trojans they-would-leave

Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
Argive Helen of-whom for-the-sake many of-the-Achaeans

ἐν Τροίῃ ἀπόλοντο, φίλης ἀπὸ πατρίδος αἴης·
in Troy perished dear from native land

ἀλλ᾽ ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων·
but go now through the-people of-the-Achaeans bronze-coated

σοῖς ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον,
with-your gentle words restrain man each

μηδὲ ἔα νῆας ἅλαδ᾽ ἑλκέμεν ἀμφιελίσσας.”
nor let the-ships to-the-sea to-drag curved

Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη,
So she-spoke nor disobeyed the-goddess flashing-eyed Athena

βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα·
went and down-from of-Olympus the-peaks darting

καρπαλίμως δ᾽ ἵκανε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
swiftly and she-reached swift to ships of-the-Achaeans

εὗρεν ἔπειτ᾽ Ὀδυσῆα, Διὶ μῆτιν ἀτάλαντον,
she-found then Odysseus to-Zeus in-counsel equal

ἑσταότ᾽· οὐδ᾽ ὅ γε νηὸς ἐϋσσέλμοιο μελαίνης
standing nor he indeed ship well-benched black

ἅπτετ᾽, ἐπεί μιν ἄχος κραδίην καὶ θυμὸν ἵκανεν·
was-touching since him grief heart and spirit had-reached

ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
near and standing addressed flashing-eyed Athena

“διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus

οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
thus indeed homeward dear to native land
φεύξεσθ' ἐν νήεσσι πολυκλήϊσι πεσόντες,
you-will-flee in ships many-benched tumbling
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιτε
down and — a-boast to-Priam and to-the-Trojans you-would-leave
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
Argive Helen of-whom for-the-sake many of-the-Achaeans
ἐν Τροίῃ ἀπόλοντο, φίλης ἀπὸ πατρίδος αἴης;
in Troy perished dear from native land
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδ' ἔτ' ἐρώει,
but go now through the-people of-the-Achaeans nor longer hold-back
σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον,
with-your and gentle words restrain man each
μηδὲ ἔα νῆας ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας."
nor let the-ships to-the-sea to-drag curved
Ὣς φάθ', ὁ δὲ ξυνέηκε θεᾶς ὅπα φωνησάσης,
So she-spoke he and knew of-the-goddess the-voice speaking
βῆ δὲ θέειν, ἀπὸ δὲ χλαῖναν βάλε· τὴν δὲ κόμισσε
went and to-run off and cloak threw it and gathered-up
κῆρυξ Εὐρυβάτης Ἰθακήσιος, ὅς οἱ ὀπήδει·
the-herald Eurybates Ithacan who him attended
αὐτὸς δ' Ἀτρεΐδεω Ἀγαμέμνονος ἀντίος ἐλθὼν
himself and of-the-son-of-Atreus Agamemnon facing going
δέξατό οἱ σκῆπτρον πατρώϊον, ἄφθιτον αἰεί·
received from-him the-staff ancestral imperishable ever
σὺν τῷ ἔβη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων.
with it went among the-ships of-the-Achaeans bronze-coated

Ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Whom any indeed king and outstanding man he-came-upon
τὸν δ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
him and with-gentle words he-would-restrain standing-beside
"δαιμόνι', οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι,
strange-one not you it-befits a-coward like to-be-frightened
ἀλλ' αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς·
but yourself both sit-down and the-other seat people
οὐ γάρ πω σάφα οἶσθ' οἷος νόος Ἀτρεΐωνος·
not for yet clearly you-know of-what-sort the-mind of-the-son-of-Atreus
νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν.
now indeed he-tests(-them) soon and he-will-smite the-sons of-the-Achaeans
ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν οἷον ἔειπε;
in council and not all heard what he-said
μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν·
lest at-all having-been-angered he-do evil to-the-sons of-the-Achaeans
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων,
the-spirit and great is of-Zeus-nurtured kings
τιμὴ δ' ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ μητίετα Ζεύς."
honor and from Zeus is loves and him counselor Zeus
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι,
Whom and in-turn of-the-commons — man he-saw shouting and found
τὸν σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ·
him with-the-staff he-would-strike would-rebuke and with-word
"δαιμόνι', ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε,
strange-one quietly sit and of-others the-word hear
οἳ σέο φέρτεροί εἰσι, σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
who than-you better are you and unwarlike and strengthless
οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ.
neither ever in war counted nor in council

οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί·
not indeed in-any-way all shall-be-kings here Achaeans
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
not a-good-thing many-lordship one lord let-there-be
εἷς βασιλεύς, ᾧ δῶκε Κρόνου πάϊς ἀγκυλομήτεω
one king to-whom gave of-Cronus the-son crooked-counseled
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσι."
the-staff both and ordinances so-that for-them he-may-take-counsel
Ὣς ὅ γε κοιρανέων δίεπε στρατόν· οἱ δ' ἀγορήνδε
So he indeed lording ranged-through the-host they and to-the-assembly
αὖτις ἐπεσσεύοντο νεῶν ἄπο καὶ κλισιάων
again rushed the-ships from and the-huts
ἠχῇ, ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης
with-a-roar as when a-wave of-the-loud-resounding sea
αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος.
on-beach great thunders roars and — the-deep

II.4 · THERSITES

Only Thersites, the ugliest man at Troy, keeps railing: he accuses Agamemnon of greed, says he dishonored Achilles, and urges the Achaeans to sail home. Odysseus rebukes him and strikes him with the staff, and he weeps. The men laugh and praise Odysseus.

Ἄλλοι μέν ῥ' ἕζοντο, ἐρήτυθεν δὲ καθ' ἕδρας·
Others indeed then sat were-held and in seats
Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα,
Thersites and still alone of-unmeasured-speech kept-brawling
ὃς ἔπεα φρεσὶν ἧσιν ἄκοσμά τε πολλά τε ἤδη,
who words in-mind his-own disorderly both many and knew

μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐριζέμεναι βασιλεῦσιν,
recklessly but not according-to order to-strive with-kings
ἀλλ᾽ ὅ τι οἱ εἴσαιτο γελοῖϊον Ἀργείοισιν
but what any to-him should-seem laughable to-the-Argives
ἔμμεναι· αἴσχιστος δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε·
to-be ugliest and man beneath Ilium came
φολκὸς ἔην, χωλὸς δ᾽ ἕτερον πόδα· τὼ δέ οἱ ὤμω
bow-legged he-was lame and in-one foot the-two and his shoulders
κυρτώ, ἐπὶ στῆθος συνοχωκότε· αὐτὰρ ὕπερθε
hunched on chest drawn-together but above
φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ᾽ ἐπενήνοθε λάχνη.
pointed he-was in-head scanty and grew-on-it wool
ἔχθιστος δ᾽ Ἀχιλῆϊ μάλιστ᾽ ἦν ἠδ᾽ Ὀδυσῆϊ·
most-hateful and to-Achilles especially he-was and to-Odysseus
τὼ γὰρ νεικείεσκε· τότ᾽ αὖτ᾽ Ἀγαμέμνονι δίῳ
them-two for he-used-to-revile then in-turn at-Agamemnon noble
ὀξέα κεκλήγων λέγ᾽ ὀνείδεα· τῷ δ᾽ ἄρ᾽ Ἀχαιοὶ
shrilly screaming he-spoke insults with-him and then the-Achaeans
ἐκπάγλως κοτέοντο νεμέσσηθέν τ᾽ ἐνὶ θυμῷ.
terribly were-angry were-indignant and in heart
αὐτὰρ ὁ μακρὰ βοῶν Ἀγαμέμνονα νείκεε μύθῳ·
but he loudly shouting Agamemnon reviled with-word
“ Ἀτρεΐδη, τέο δὴ αὖτ᾽ ἐπιμέμφεαι ἠδὲ χατίζεις;
son-of-Atreus for-what now again do-you-blame and lack
πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
full for-you of-bronze the-huts many and women
εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
are in the-huts choice which to-you the-Achaeans
πρωτίστῳ δίδομεν, εὖτ᾽ ἂν πτολίεθρον ἕλωμεν.
first we-give whenever — a-citadel we-take

ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι, ὅν κέ τις οἴσει
truly still also of-gold do-you-lack which — someone will-bring
Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα,
of-the-Trojans horse-taming out-of Ilium for-a-son as-ransom
ὅν κεν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,
whom — I having-bound may-lead or another of-the-Achaeans
ἠὲ γυναῖκα νέην, ἵνα μίσγεαι ἐν φιλότητι,
or a-woman young so-that you-may-lie-with(-her) in love
ἥν τ' αὐτὸς ἀπονόσφι κατίσχεαι; οὐ μὲν ἔοικεν
whom — yourself apart you-keep not indeed it-befits
ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν.
leader being into-evils to-bring the-sons of-the-Achaeans
ὦ πέπονες, κάκ' ἐλέγχε', Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί,
O weaklings evil disgraces Achaean-women no-longer Achaeans
οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα, τόνδε δ' ἐῶμεν
homeward indeed with ships let-us-return this-man and let-us-leave
αὐτοῦ ἐνὶ Τροίῃ γέρα πεσσέμεν, ὄφρα ἴδηται
there in Troy prizes to-digest so-that he-may-see
ἤ ῥά τί οἱ χἠμεῖς προσαμύνομεν, ἦε καὶ οὐκί·
whether then at-all him we-too help or also not
ὃς καὶ νῦν Ἀχιλῆα, ἕο μέγ' ἀμείνονα φῶτα,
who also now Achilles than-himself much better man
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
has-dishonored having-taken for he-holds the-prize himself having-robbed
ἀλλὰ μάλ' οὐκ Ἀχιλῆϊ χόλος φρεσίν, ἀλλὰ μεθήμων·
but very not to-Achilles anger in-mind but slack
ἦ γὰρ ἄν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο."
truly for — son-of-Atreus now for-the-last-time you-would-outrage

Ὣς φάτο νεικείων Ἀγαμέμνονα, ποιμένα λαῶν,
So he-spoke reviling Agamemnon shepherd of-the-people
Θερσίτης· τῷ δ' ὦκα παρίστατο δῖος Ὀδυσσεύς,
Thersites to-him and quickly stood-by noble Odysseus
καί μιν ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
and him from-under looking with-harsh rebuked word
"Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,
Thersites reckless-of-speech clear though being speaker
ἴσχεο, μηδ' ἔθελ' οἷος ἐριζέμεναι βασιλεῦσιν·
restrain-yourself nor wish alone to-strive with-kings
οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον
not for I than-you I-say worse mortal other
ἔμμεναι, ὅσσοι ἅμ' Ἀτρεΐδῃσι ὑπὸ Ἴλιον ἦλθον.
to-be as-many-as with the-sons-of-Atreus beneath Ilium came
τῷ οὐκ ἂν βασιλῆας ἀνὰ στόμ' ἔχων ἀγορεύοις,
therefore not — kings upon mouth having should-you-harangue
καί σφιν ὀνείδεά τε προφέροις, νόστόν τε φυλάσσοις.
and to-them insults both bring-forth return and watch-for
οὐδέ τί πω σάφα ἴδμεν ὅπως ἔσται τάδε ἔργα,
nor at-all yet clearly we-know how will-be these deeds
ἢ εὖ ἦε κακῶς νοστήσομεν υἷες Ἀχαιῶν.
whether well or badly we-shall-return the-sons of-the-Achaeans
τῷ νῦν Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
therefore now at-the-son-of-Atreus Agamemnon shepherd of-the-people
ἧσαι ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦσιν
you-sit reviling because to-him very many-things give
ἥρωες Δαναοί· σὺ δὲ κερτομέων ἀγορεύεις.
the-heroes Danaans you and mocking harangue
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
but out to-you I-will-say this and also accomplished will-be

εἴ κ᾽ ἔτι σ᾽ ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε,
if — still you being-foolish I-find as now indeed thus
μηκέτ᾽ ἔπειτ᾽ Ὀδυσῆϊ κάρη ὤμοισιν ἐπείη,
no-longer then on-Odysseus head on-shoulders may-be
μηδ᾽ ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην,
nor still of-Telemachus father called may-I-be
εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω,
if not I you taking off indeed dear clothes will-strip
χλαῖνάν τ᾽ ἠδὲ χιτῶνα, τά τ᾽ αἰδῶ ἀμφικαλύπτει,
cloak both and tunic which — the-shame covers-around
αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ νῆας ἀφήσω
yourself and weeping swift to ships I-will-send
πεπλήγων ἀγορῆθεν ἀεικέσσι πληγῇσιν.᾽᾽
having-struck(-you) from-the-assembly with-shameful blows
Ὣς ἄρ᾽ ἔφη, σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω
So then he-spoke with-the-staff and back and also shoulders
πλῆξεν· ὁ δ᾽ ἰδνώθη, θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ·
he-struck he and doubled-over swelling and from-him fell a-tear
σμῶδιξ δ᾽ αἱματόεσσα μεταφρένου ἐξυπανέστη
a-weal and bloody from-the-back rose-up
σκήπτρου ὕπο χρυσέου· ὁ δ᾽ ἄρ᾽ ἕζετο τάρβησέν τε,
staff under golden he and then sat was-afraid and
ἀλγήσας δ᾽ ἀχρεῖον ἰδὼν ἀπομόρξατο δάκρυ.
in-pain and helplessly looking wiped-away the-tear
οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ᾽ αὐτῷ ἡδὺ γέλασσαν·
they and even grieving though at him sweetly laughed
ὧδε δέ τις εἶπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and someone would-say looking to neighbor other

"ὦ πόποι, ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐσθλὰ ἔοργε
oh for-shame truly indeed countless Odysseus good-things has-done
βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων·
counsels both leading good war and marshaling
νῦν δὲ τόδε μέγ' ἄριστον ἐν Ἀργείοισιν ἔρεξεν,
now and this by-far best among the-Argives he-has-done
ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχ' ἀγοράων.
who the scurrilous word-flinger has-stopped from-assemblies
οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ
not surely him back again will-send heart haughty
νεικείειν βασιλῆας ὀνειδείοις ἐπέεσσιν."
to-revile kings with-reproachful words

II.5 · THE OMEN AT AULIS

Odysseus rises with Athena beside him in the form of a herald. He says the army is shaming Agamemnon, though nine years away from home would make any man restless. He reminds them of the omen at Aulis, where a serpent ate eight sparrow chicks and their mother and was turned to stone. Calchas read it as nine years of war and the city taken in the tenth. Odysseus urges them all to stay until Troy falls.

Ὣς φάσαν ἡ πληθύς· ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς
So they-spoke the multitude up and the sacker-of-cities Odysseus
ἔστη σκῆπτρον ἔχων· παρὰ δὲ γλαυκῶπις Ἀθήνη
stood the-staff holding beside and flashing-eyed Athena
εἰδομένη κήρυκι σιωπᾶν λαὸν ἀνώγει,
likened to-a-herald to-be-silent the-people bade
ὡς ἅμα θ' οἱ πρῶτοί τε καὶ ὕστατοι υἷες Ἀχαιῶν
so-that together — the first both and last the-sons of-the-Achaeans
μῦθον ἀκούσειαν καὶ ἐπιφρασσαίατο βουλήν·
the-word might-hear and might-consider the-counsel

ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them with-good-intent addressed-the-assembly and spoke-among(-them)
" Ἀτρεΐδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ
son-of-Atreus now indeed you lord wish the-Achaeans
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν,
for-all most-shameful to-make among-mortal men
οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν ἣν περ ὑπέσταν
nor to-you do-they-fulfill the-promise which indeed they-undertook
ἐνθάδ' ἔτι στείχοντες ἀπ' Ἄργεος ἱπποβότοιο,
hither still coming from Argos horse-pasturing
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι.
Ilium having-sacked well-walled to-return-home
ὥς τε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες
like — for either children young widowed and women
ἀλλήλοισιν ὀδύρονται οἰκόνδε νέεσθαι.
to-each-other they-lament homeward to-return
ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι·
truly indeed also toil it-is having-been-wearied to-return
καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο
even for someone — one month staying away-from his-own wife
ἀσχαλάᾳ σὺν νηῒ πολυζύγῳ, ὅν περ ἄελλαι
chafes with ship many-benched whom indeed blasts
χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα·
wintry hem-in raised-up and the-sea
ἡμῖν δ' εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς
for-us and the-ninth is rolling-round year
ἐνθάδε μιμνόντεσσι· τῶ οὐ νεμεσίζομ' Ἀχαιοὺς
here remaining therefore not I-blame the-Achaeans
ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσιν· ἀλλὰ καὶ ἔμπης
to-chafe beside ships curved but even nevertheless

αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.
shameful you-know long both to-stay empty-handed and to-return
τλῆτε, φίλοι, καὶ μείνατ' ἐπὶ χρόνον, ὄφρα δαῶμεν
endure friends and stay for a-while so-that we-may-learn
ἢ ἐτεὸν Κάλχας μαντεύεται, ἦε καὶ οὐκί.
whether truly Calchas prophesies or also not
εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες
well for indeed this we-know in minds you-are and all
μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι·
witnesses whom not the-fates went of-death carrying-off
χθιζά τε καὶ πρωΐζ', ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν
yesterday both and the-day-before when to Aulis the-ships of-the-Achaeans
ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι,
were-gathering evils for-Priam and for-the-Trojans bringing
ἡμεῖς δ' ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς
we and around about a-spring holy on altars
ἕρδομεν ἀθανάτοισι τελήεσσας ἑκατόμβας,
were-offering to-the-immortals perfect hecatombs
καλῇ ὑπὸ πλατανίστῳ, ὅθεν ῥέεν ἀγλαὸν ὕδωρ·
fair beneath plane-tree whence flowed bright water
ἔνθ' ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινός,
there appeared a-great sign a-serpent on back blood-red
σμερδαλέος, τόν ῥ' αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε,
terrible which then himself the-Olympian sent to-the-light
βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν.
from-the-altar darting-from-under to then the-plane-tree it-sprang
ἔνθα δ' ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα,
there and were of-a-sparrow the-nestlings infant young
ὄζῳ ἐπ' ἀκροτάτῳ, πετάλοις ὑποπεπτηῶτες,
branch on topmost under-the-leaves cowering

ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα·
eight but the-mother ninth was who bore the-young
ἔνθ' ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
there it indeed them piteously devoured twittering
μήτηρ δ' ἀμφιποτᾶτο ὀδυρομένη φίλα τέκνα·
the-mother and fluttered-around lamenting dear young
τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν.
her and having-coiled by-the-wing it-seized crying-around
αὐτὰρ ἐπεὶ κατὰ τέκνα φάγε στρουθοῖο καὶ αὐτήν,
but when down the-young it-ate of-the-sparrow and herself
τὸν μὲν ἀρίζηλον θῆκεν θεός, ὅς περ ἔφηνε·
it indeed conspicuous made the-god who indeed revealed(-it)
λᾶαν γάρ μιν ἔθηκε Κρόνου πάϊς ἀγκυλομήτεω·
stone for it made of-Cronus the-son crooked-counseled
ἡμεῖς δ' ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη.
we and standing marveled what had-happened
ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ' ἑκατόμβας,
as then terrible portents of-the-gods came-into the-hecatombs
Κάλχας δ' αὐτίκ' ἔπειτα θεοπροπέων ἀγόρευε·
Calchas and at-once then prophesying declared
'τίπτ' ἄνεῳ ἐγένεσθε, κάρη κομόωντες Ἀχαιοί;
why silent have-you-become on-head long-haired Achaeans
ἡμῖν μὲν τόδ' ἔφηνε τέρας μέγα μητίετα Ζεύς,
to-us indeed this revealed portent great counselor Zeus
ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔ ποτ' ὀλεῖται.
late late-fulfilled whose fame not ever will-perish
ὡς οὗτος κατὰ τέκνα φάγε στρουθοῖο καὶ αὐτήν,
as this down the-young ate of-the-sparrow and herself
ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα,
eight but the-mother ninth was who bore the-young

ὣς ἡμεῖς τοσσαῦτ᾽ ἔτεα πτολεμίξομεν αὖθι,
so we so-many years shall-war there
τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν.᾽
on-the tenth and the-city we-shall-take wide-streeted
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. 330
that-man so declared these indeed now all are-being-fulfilled
ἀλλ᾽ ἄγε, μίμνετε πάντες, ἐϋκνήμιδες Ἀχαιοί,
but come stay all well-greaved Achaeans
αὐτοῦ, εἰς ὅ κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν.᾽᾽
there until the-time — the-town great of-Priam we-take

II.6 · NESTOR'S ADVICE

The Argives cheer. Nestor tells them they talk like children, recalls their oaths and the lightning of Zeus, and advises Agamemnon to marshal the men by tribes and clans. Agamemnon wishes he had ten such counselors and orders the army to eat and make ready for battle.

Ὣς ἔφατ᾽, Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον, ἀμφὶ δὲ νῆες
So he-spoke the-Argives and loudly shouted around and the-ships
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ᾽ Ἀχαιῶν,
terribly resounded shouting under the-Achaeans
μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο· 335
the-speech praising of-Odysseus godlike
τοῖσι δὲ καὶ μετέειπε Γερήνιος ἱππότα Νέστωρ·
to-them and also spoke-among Gerenian horseman Nestor
᾽᾽ὦ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
oh for-shame truly indeed to-children like you-hold-assembly
νηπιάχοις, οἷς οὔ τι μέλει πολεμήϊα ἔργα.
infant to-whom not at-all are-a-care warlike deeds

πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμιν;
where indeed covenants both and oaths will-go for-us
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν,
in fire indeed counsels both may-be plans and of-men
σπονδαί τ' ἄκρητοι καὶ δεξιαί, ἧς ἐπέπιθμεν·
libations and unmixed and right-hands in-which we-trusted
αὔτως γὰρ ἐπέεσσ' ἐριδαίνομεν, οὐδέ τι μῆχος
idly for with-words we-wrangle nor any means
εὑρέμεναι δυνάμεσθα, πολὺν χρόνον ἐνθάδ' ἐόντες.
to-find are-we-able long time here being
Ἀτρεΐδη, σὺ δ' ἔθ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν
son-of-Atreus you and still as before holding unshaken counsel
ἄρχευ' Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας,
lead the-Argives through mighty combats
τούσδε δ' ἔα φθινύθειν, ἕνα καὶ δύο, τοί κεν Ἀχαιῶν
these and let to-perish one and two who — of-the-Achaeans
νόσφιν βουλεύωσ' — ἄνυσις δ' οὐκ ἔσσεται αὐτῶν —
apart take-counsel accomplishment and not will-be of-them
πρὶν Ἄργοσδ' ἰέναι, πρὶν καὶ Διὸς αἰγιόχοιο
before to-Argos to-go before even of-Zeus aegis-bearing
γνώμεναι εἴ τε ψεῦδος ὑπόσχεσις, εἴ τε καὶ οὐκί.
to-know whether — false the-promise or — also not
φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
I-say for then to-have-nodded-assent the-over-mighty son-of-Cronus
ἤματι τῷ ὅτε νηυσὶν ἐν ὠκυπόροισιν ἔβαινον
on-day that when the-ships into swift-faring they-went
Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες·
the-Argives for-the-Trojans slaughter and doom bringing
ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων.
lightening on-the-right favorable signs showing

τῶ μή τις πρὶν ἐπειγέσθω οἶκόνδε νέεσθαι,
therefore not anyone before let-him-hasten homeward to-return
πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι,
before someone beside of-the-Trojans a-wife to-have-lain-with
τείσασθαι δ' Ἑλένης ὁρμήματά τε στοναχάς τε.
to-avenge and of-Helen the-strivings both groans and
εἰ δέ τις ἐκπάγλως ἐθέλει οἶκόνδε νέεσθαι,
if and anyone terribly wishes homeward to-return
ἁπτέσθω ἧς νηὸς ἐϋσσέλμοιο μελαίνης,
let-him-lay-hold-of his-own ship well-benched black
ὄφρα πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ.
so-that before of-others death and doom he-may-meet
ἀλλά, ἄναξ, αὐτός τ' εὖ μήδεο πείθεό τ' ἄλλῳ·
but lord yourself both well devise obey and another
οὔ τοι ἀπόβλητον ἔπος ἔσσεται, ὅττι κεν εἴπω·
not you-know rejected the-word will-be whatever — I-say
κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον,
separate men by tribes by clans Agamemnon
ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις.
so-that clan to-clan may-help tribes and to-tribes
εἰ δέ κεν ὣς ἔρξῃς καί τοι πείθωνται Ἀχαιοί,
if and — so you-do and to-you obey the-Achaeans
γνώσῃ ἔπειθ' ὅς θ' ἡγεμόνων κακὸς ὅς τέ νυ λαῶν
you-will-know then who — of-the-leaders bad who and now of-the-people
ἠδ' ὅς κ' ἐσθλὸς ἔῃσι· κατὰ σφέας γὰρ μαχέονται·
and who — good is by themselves for they-will-fight
γνώσεαι δ' εἰ καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις,
you-will-know and whether even by-divine-will the-city not you-will-sack
ἢ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο."
or of-men by-cowardice and ignorance of-war

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
Him and answering addressed lord Agamemnon
"ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.
truly indeed again in-assembly you-surpass old-man the-sons of-the-Achaeans
αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
if-only for Zeus both father and Athena and Apollo
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν·
such ten to-me fellow-counselors were of-the-Achaeans
τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
then — soon would-bow-down the-city of-Priam lord
χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.
hands beneath our taken both sacked and
ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν,
but to-me aegis-bearing son-of-Cronus Zeus pains has-given
ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
who me into fruitless quarrels and wranglings casts
καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχεσσάμεθ' εἵνεκα κούρης
even for I Achilles and fought for-the-sake-of a-girl
ἀντιβίοις ἐπέεσσιν, ἐγὼ δ' ἦρχον χαλεπαίνων·
with-opposing words I and began being-angry
εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
if and ever into indeed one we-take-counsel no-longer then
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται, οὐδ' ἠβαιόν.
for-the-Trojans postponement of-evil will-be nor a-little
νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.
now and go to dinner so-that we-may-join Ares
εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω,
well indeed each spear let-him-sharpen well and shield let-him-set
εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσιν,
well and each for-the-horses dinner let-him-give swift-footed

εὖ δέ τις ἅρματος ἀμφὶς ἰδὼν πολέμοιο μεδέσθω,
well and each of-the-chariot around looking of-war let-him-take-thought
ὥς κε πανημέριοι στυγερῷ κρινώμεθ' Ἄρηϊ.
so-that — all-day-long in-hateful we-may-contend Ares
οὐ γὰρ παυσωλή γε μετέσσεται, οὐδ' ἠβαιόν,
not for respite indeed will-be-among(-us) nor a-little
εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν.
if not night coming shall-part the-fury of-men
ἱδρώσει μέν τευ τελαμὼν ἀμφὶ στήθεσφιν
will-sweat indeed of-many-a-man the-strap around breast
ἀσπίδος ἀμφιβρότης, περὶ δ' ἔγχεϊ χεῖρα καμεῖται·
of-shield man-covering around and the-spear the-hand will-grow-weary
ἱδρώσει δέ τευ ἵππος ἐϋξοον ἅρμα τιταίνων.
will-sweat and of-many-a-man the-horse well-polished chariot straining
ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω
whom and — I apart from-battle wishing see
μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἔπειτα
to-linger beside ships curved not for-him then
ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς."
sure it-will-be to-escape dogs and birds

The army scatters to eat and sacrifice. Agamemnon offers an ox to Zeus with the elders and prays to burn Priam's palace by nightfall, but Zeus takes the offering and not the prayer. After the feast Nestor urges him to call out the army. Athena goes through the ranks with the aegis and fills every man with the will to fight. The host pours onto the Scamandrian plain, its bronze flashing like a forest fire. The leaders marshal it like goatherds, and Zeus makes Agamemnon stand out like a bull.

Ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον, ὡς ὅτε κῦμα
So he-spoke the-Argives and loudly shouted as when a-wave
ἀκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσῃ Νότος ἐλθών,
headland on high when moves Notus coming
προβλῆτι σκοπέλῳ· τὸν δ' οὔ ποτε κύματα λείπει
on-a-jutting crag it and not ever the-waves leave
παντοίων ἀνέμων, ὅτ' ἂν ἔνθ' ἢ ἔνθα γένωνται.
of-all-kinds-of winds when — here or there they-arise
ἀνστάντες δ' ὀρέοντο κεδασθέντες κατὰ νῆας,
standing-up and they-hastened scattered among the-ships
κάπνισσάν τε κατὰ κλισίας, καὶ δεῖπνον ἕλοντο.
made-fires and in the-huts and dinner took
ἄλλος δ' ἄλλῳ ἔρεξε θεῶν αἰειγενετάων,
another and to-another sacrificed of-the-gods ever-living
εὐχόμενος θάνατόν τε φυγεῖν καὶ μῶλον Ἄρηος.
praying death both to-escape and the-toil of-Ares
αὐτὰρ ὁ βοῦν ἱέρευσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
but he an-ox sacrificed lord of-men Agamemnon
πίονα πενταέτηρον ὑπερμενέϊ Κρονίωνι,
fat five-year-old to-the-over-mighty son-of-Cronus
κίκλησκεν δὲ γέροντας ἀριστῆας Παναχαιῶν,
he-called and the-elders the-best of-all-the-Achaeans

Νέστορα μὲν πρώτιστα καὶ Ἰδομενῆα ἄνακτα,
Nestor indeed first-of-all and Idomeneus lord
αὐτὰρ ἔπειτ' Αἴαντε δύω καὶ Τυδέος υἱόν,
but then the-Ajaxes two and of-Tydeus the-son
ἕκτον δ' αὖτ' Ὀδυσῆα, Διὶ μῆτιν ἀτάλαντον.
sixth and in-turn Odysseus to-Zeus in-counsel equal
αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος·
unbidden and to-him came at-the-war-cry good Menelaus
ᾔδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.
he-knew for in heart his-brother how he-was-toiling
βοῦν δὲ περιστήσαντο καὶ οὐλοχύτας ἀνέλοντο·
the-ox and they-stood-around and barley-grains took-up
τοῖσιν δ' εὐχόμενος μετέφη κρείων Ἀγαμέμνων·
among-them and praying spoke-among lord Agamemnon
"Ζεῦ κύδιστε μέγιστε, κελαινεφές, αἰθέρι ναίων,
Zeus most-glorious greatest dark-clouded in-the-upper-air dwelling
μὴ πρὶν ἐπ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν,
not before upon the-sun to-set and on darkness to-come
πρίν με κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον
before I down headlong to-have-cast of-Priam the-roof
αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηΐοιο θύρετρα,
smoke-blackened to-have-burned and with-fire consuming the-doors
Ἕκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι
Hector's and tunic around breast to-have-torn
χαλκῷ ῥωγαλέον· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
with-bronze rent many and around him comrades
πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν."
headlong in the-dust with-the-teeth may-bite the-earth

Ὣς ἔφατ', οὐδ' ἄρα πώ οἱ ἐπεκραίαινε Κρονίων,
So he-spoke nor then yet to-him did-fulfill(-it) the-son-of-Cronus
ἀλλ' ὅ γε δέκτο μὲν ἱρά, πόνον δ' ἀμέγαρτον ὄφελλεν.
but he indeed received indeed the-offerings toil and unenviable he-increased
αὐτὰρ ἐπεί ῥ' εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
but when then they-prayed and barley-grains threw-forward
αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
they-drew-back(-the-heads) indeed first and slaughtered and flayed
μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν
thighs and cut-out down and with-fat covered(-them)
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.
double having-made on them and placed-raw-pieces
καὶ τὰ μὲν ἂρ σχίζῃσιν ἀφύλλοισιν κατέκαιον,
and these indeed then on-billets leafless they-burned
σπλάγχνα δ' ἄρ' ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο.
the-entrails and then having-pierced they-held-over of-Hephaestus
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχνα πάσαντο,
but when down thighs were-burned and the-entrails they-tasted
μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
cut-up and then the-rest and around spits pierced(-them)
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
roasted and carefully drew-off and all
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα,
but when they-ceased from-toil had-prepared and the-feast
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
they-feasted nor at-all heart lacked of-feast equal
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-had-put
τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
among-them then of-words began Gerenian horseman Nestor

“ Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
son-of-Atreus most-glorious lord of-men Agamemnon
μηκέτι νῦν δήθ’ αὖθι λεγώμεθα, μηδ’ ἔτι δηρὸν
no-longer now long here let-us-talk nor longer long
ἀμβαλλώμεθα ἔργον, ὃ δὴ θεὸς ἐγγυαλίζει.
let-us-put-off the-work which indeed the-god puts-in-our-hands
ἀλλ’ ἄγε, κήρυκες μὲν Ἀχαιῶν χαλκοχιτώνων
but come the-heralds indeed of-the-Achaeans bronze-coated
λαὸν κηρύσσοντες ἀγειρόντων κατὰ νῆας,
the-people summoning let-them-gather among the-ships
ἡμεῖς δ’ ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
we and in-a-body thus through the-army broad of-the-Achaeans
ἴομεν, ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα.”
let-us-go so-that — the-sooner we-may-rouse keen Ares

Ὣς ἔφατ’, οὐδ’ ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
So he-spoke nor disobeyed lord of-men Agamemnon
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
at-once the-heralds clear-voiced he-bade
κηρύσσειν πόλεμόνδε κάρη κομόωντας Ἀχαιούς·
to-summon to-war on-head long-haired Achaeans
οἱ μὲν ἐκήρυσσον, τοὶ δ’ ἠγείροντο μάλ’ ὦκα.
they indeed summoned they and gathered very quickly
οἱ δ’ ἀμφ’ Ἀτρεΐωνα διοτρεφέες βασιλῆες
they and about the-son-of-Atreus the-Zeus-nurtured kings
θῦνον κρίνοντες, μετὰ δὲ γλαυκῶπις Ἀθήνη,
rushed marshaling among and flashing-eyed Athena
αἰγίδ’ ἔχουσ’ ἐρίτιμον ἀγήρων ἀθανάτην τε,
the-aegis having precious ageless immortal and
τῆς ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθονται,
of-it a-hundred tassels all-golden float

πάντες ἐϋπλεκέες, ἑκατόμβοιος δὲ ἕκαστος·
all well-plaited worth-a-hundred-oxen and each
σὺν τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν
with it flashing she-darted-through the-people of-the-Achaeans
ὀτρύνουσ' ἰέναι· ἐν δὲ σθένος ὦρσεν ἑκάστῳ
urging(-them) to-go in and strength roused in-each
καρδίῃ ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
in-heart unceasing to-war and to-fight
τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι
for-them and at-once war sweeter became than to-return
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.
in ships hollow dear to native land
Ἠΰτε πῦρ ἀΐδηλον ἐπιφλέγει ἄσπετον ὕλην
As fire destructive blazes-over a-boundless forest
οὔρεος ἐν κορυφῇς, ἔκαθεν δέ τε φαίνεται αὐγή,
of-a-mountain on the-peaks from-afar and — appears the-glare
ὣς τῶν ἐρχομένων ἀπὸ χαλκοῦ θεσπεσίοιο
so of-them going from the-bronze marvelous
αἴγλη παμφανόωσα δι' αἰθέρος οὐρανὸν ἷκε.
the-gleam all-shining through the-upper-air heaven reached
Τῶν δ', ὥς τ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά,
Of-them and as — of-birds winged the-tribes many
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
of-geese or of-cranes or of-swans long-necked
Ἀσίῳ ἐν λειμῶνι, Καϋστρίου ἀμφὶ ῥέεθρα,
Asian in meadow of-Caÿstrius around streams
ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεσσι,
here and there fly exulting in-wings
κλαγγηδὸν προκαθιζόντων, σμαραγεῖ δέ τε λειμών,
with-clamor settling-forward resounds and — the-meadow

ὣς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων
so of-them the-tribes many the-ships from and the-huts
ἐς πεδίον προχέοντο Σκαμάνδριον· αὐτὰρ ὑπὸ χθὼν
into the-plain poured-forth Scamandrian but beneath the-earth
σμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων.
terribly resounded of-feet of-themselves both and of-horses
ἔσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι
they-stood and in the-meadow Scamandrian flowery
μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ.
countless as-many-as — leaves and flowers grow in-season
Ἠΰτε μυιάων ἀδινάων ἔθνεα πολλὰ
As of-flies thronging the-tribes many
αἵ τε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσιν
which — around the-farmstead of-the-shepherds wander
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει,
season in spring when — milk the-pails wets
τόσσοι ἐπὶ Τρώεσσι κάρη κομόωντες Ἀχαιοὶ
so-many against the-Trojans on-head long-haired Achaeans
ἐν πεδίῳ ἵσταντο διαρραῖσαι μεμαῶτες.
in the-plain stood to-rend(-them) eager
Τοὺς δ', ὥς τ' αἰπόλια πλατέ' αἰγῶν αἰπόλοι ἄνδρες
Them and as — herds wide of-goats goatherd men
ῥεῖα διακρίνωσιν, ἐπεί κε νομῷ μιγέωσιν,
easily separate when — in-pasture they-mingle
ὣς τοὺς ἡγεμόνες διεκόσμεον ἔνθα καὶ ἔνθα
so them the-leaders marshaled here and there
ὑσμίνηνδ' ἰέναι, μετὰ δὲ κρείων Ἀγαμέμνων,
into-combat to-go among and lord Agamemnon
ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ,
in-eyes and head like to-Zeus delighting-in-thunder

Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.
to-Ares and in-girdle in-chest and to-Poseidon
ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων
as a-bull in-the-herd greatly outstanding is of-all
ταῦρος· ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι·
a-bull it for — among-the-cattle is-conspicuous gathered
τοῖον ἄρ' Ἀτρεΐδην θῆκε Ζεὺς ἤματι κείνῳ,
such then the-son-of-Atreus made Zeus on-day that
ἐκπρεπέ' ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσιν.
conspicuous among many and outstanding among-heroes

II.8 · THE CATALOG: BOEOTIA TO ARGOS

The poet calls on the Muses to name the leaders and their ships. The catalog begins with the Boeotians and their fifty ships, then the men of Orchomenus, the Phocians, and the Locrians under the lesser Ajax. It continues with the Abantes of Euboea and the Athenians under Menestheus, whom only Nestor rivals at marshaling men, and Ajax's twelve ships from Salamis. Diomedes leads the men of Argos and Tiryns in eighty ships.

Ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι —
Tell now to-me Muses Olympian homes having
ὑμεῖς γὰρ θεαί ἐστε, πάρεστέ τε, ἴστέ τε πάντα,
you for goddesses are are-present both know and all(-things)
ἡμεῖς δὲ κλέος οἷον ἀκούομεν οὐδέ τι ἴδμεν —
we and a-rumor only hear nor anything know
οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν·
who any leaders of-the-Danaans and lords were
πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
the-multitude and not — I will-tell nor name

οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ᾽ εἶεν,
not-even if to-me ten indeed tongues ten and mouths were
φωνὴ δ᾽ ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη,
a-voice and unbreakable of-bronze and in-me a-heart were-within
εἰ μὴ Ὀλυμπιάδες Μοῦσαι, Διὸς αἰγιόχοιο
if not the-Olympian Muses of-Zeus aegis-bearing
θυγατέρες, μνησαίαθ᾽ ὅσοι ὑπὸ Ἴλιον ἦλθον·
daughters should-recall as-many-as beneath Ilium came
ἀρχοὺς αὖ νηῶν ἐρέω νηάς τε προπάσας.
the-leaders in-turn of-the-ships I-will-tell the-ships and all-together
Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον
Of-the-Boeotians indeed Peneleos and Leitus were-leaders
Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε,
Arcesilaus both Prothoenor and Clonius and
οἵ θ᾽ Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν
who and Hyria dwelt-in and Aulis rocky
Σχοῖνόν τε Σκῶλόν τε πολύκνημόν τ᾽ Ἐτεωνόν,
Schoenus both Scolus and many-ridged and Eteonus
Θέσπειαν Γραῖάν τε καὶ εὐρύχορον Μυκαλησσόν,
Thespeia Graea both and spacious Mycalessus
οἵ τ᾽ ἀμφ᾽ Ἅρμ᾽ ἐνέμοντο καὶ Εἰλέσιον καὶ Ἐρυθράς,
who and around Harma dwelt-in and Eilesium and Erythrae
οἵ τ᾽ Ἐλεῶν᾽ εἶχον ἠδ᾽ Ὕλην καὶ Πετεῶνα,
who and Eleon held and Hyle and Peteon
Ὠκαλέην Μεδεῶνά τ᾽, ἐϋκτίμενον πτολίεθρον,
Ocalea Medeon and well-built citadel
Κώπας Εὔτρησίν τε πολυτρήρωνά τε Θίσβην,
Copae Eutresis both many-doved and Thisbe
οἵ τε Κορώνειαν καὶ ποιήενθ᾽ Ἁλίαρτον,
who and Coroneia and grassy Haliartus

οἵ τε Πλάταιαν ἔχον ἠδ' οἳ Γλισᾶντ' ἐνέμοντο,
who and Plataea held and who Glisas dwelt-in
οἵ θ' Ὑποθήβας εἶχον, ἐϋκτίμενον πτολίεθρον,
who and Lower-Thebes held well-built citadel
Ὀγχηστόν θ' ἱερόν, Ποσιδήϊον ἀγλαὸν ἄλσος,
Onchestus and holy Poseidon's glorious grove
οἵ τε πολυστάφυλον Ἄρνην ἔχον, οἵ τε Μίδειαν
who and many-grape-clustered Arne held who and Mideia
Νῖσάν τε ζαθέην Ἀνθηδόνα τ' ἐσχατόωσαν·
Nisa and most-holy Anthedon and farthest
τῶν μὲν πεντήκοντα νέες κίον, ἐν δὲ ἑκάστῃ
of-them indeed fifty ships went in and each
κοῦροι Βοιωτῶν ἑκατὸν καὶ εἴκοσι βαῖνον.
youths of-the-Boeotians a-hundred and twenty went
Οἱ δ' Ἀσπληδόνα ναῖον ἰδ' Ὀρχομενὸν Μινύειον,
They and Aspledon dwelt-in and Orchomenus Minyan
τῶν ἦρχ' Ἀσκάλαφος καὶ Ἰάλμενος, υἷες Ἄρηος,
of-them led Ascalaphus and Ialmenus sons of-Ares
οὓς τέκεν Ἀστυόχη δόμῳ Ἄκτορος Ἀζείδαο,
whom bore Astyoche in-the-house of-Actor son-of-Azeus
παρθένος αἰδοίη, ὑπερῴϊον εἰσαναβᾶσα,
a-maiden modest the-upper-chamber having-gone-up
Ἄρηϊ κρατερῷ· ὁ δέ οἱ παρελέξατο λάθρῃ·
to-Ares mighty he and with-her lay-beside secretly
τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
with-them and thirty hollow ships marched-in-line
Αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον,
But of-the-Phocians Schedius and Epistrophus were-leaders
υἷες Ἰφίτου μεγαθύμου Ναυβολίδαο,
sons of-Iphitus great-hearted son-of-Naubolus

οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν
who Cyparissus held Pytho and rocky
Κρῖσάν τε ζαθέην καὶ Δαυλίδα καὶ Πανοπῆα,
Crisa and most-holy and Daulis and Panopeus
οἵ τ᾽ Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφινέμοντο,
who and Anemoreia and Hyampolis dwelt-around
οἵ τ᾽ ἄρα πὰρ ποταμὸν Κηφισὸν δῖον ἔναιον,
who and then beside the-river Cephisus noble dwelt
οἵ τε Λίλαιαν ἔχον πηγῇς ἔπι Κηφισοῖο·
who and Lilaea held the-springs at of-Cephisus
τοῖς δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
with-them and together forty black ships followed
οἱ μὲν Φωκήων στίχας ἵστασαν ἀμφιέποντες,
they indeed of-the-Phocians the-ranks set busying-themselves
Βοιωτῶν δ᾽ ἔμπλην ἐπ᾽ ἀριστερὰ θωρήσσοντο.
of-the-Boeotians and close-by on the-left they-armed
Λοκρῶν δ᾽ ἡγεμόνευεν Ὀϊλῆος ταχὺς Αἴας,
of-the-Locrians and was-leader of-Oileus swift Ajax
μείων, οὔ τι τόσος γε ὅσος Τελαμώνιος Αἴας,
lesser not at-all so-great indeed as-great-as Telamonian Ajax
ἀλλὰ πολὺ μείων· ὀλίγος μὲν ἔην, λινοθώρηξ,
but much lesser small indeed he-was linen-corseleted
ἐγχείῃ δ᾽ ἐκέκαστο Πανέλληνας καὶ Ἀχαιούς·
with-the-spear and he-excelled all-Hellenes and Achaeans
οἳ Κῦνόν τ᾽ ἐνέμοντ᾽ Ὀπόεντά τε Καλλίαρόν τε
who Cynus both dwelt-in Opus both Calliarus and
Βῆσσάν τε Σκάρφην τε καὶ Αὐγειὰς ἐρατεινὰς
Bessa both Scarphe both and Augeiae lovely
Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα·
Tarphe both Thronium and of-Boagrius around streams

τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο
with-him and together forty black ships followed
Λοκρῶν, οἳ ναίουσι πέρην ἱερῆς Εὐβοίης.
of-the-Locrians who dwell across holy Euboea
Οἱ δ' Εὔβοιαν ἔχον μένεα πνείοντες Ἄβαντες,
They and Euboea held furies breathing the-Abantes
Χαλκίδα τ' Εἰρέτριάν τε πολυστάφυλόν θ' Ἱστίαιαν
Chalcis both Eretria and many-grape-clustered and Histiaea
Κήρινθόν τ' ἔφαλον Δίου τ' αἰπὺ πτολίεθρον,
Cerinthus and by-the-sea of-Dium and steep citadel
οἵ τε Κάρυστον ἔχον ἠδ' οἳ Στύρα ναιετάασκον,
who and Carystus held and who Styra dwelt-in
τῶν αὖθ' ἡγεμόνευ' Ἐλεφήνωρ, ὄζος Ἄρηος,
of-them in-turn led Elephenor scion of-Ares
Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων.
son-of-Chalcodon of-the-great-hearted leader Abantes
τῷ δ' ἅμ' Ἄβαντες ἕποντο θοοί, ὄπιθεν κομόωντες,
with-him and together the-Abantes followed swift behind long-haired
αἰχμηταὶ μεμαῶτες ὀρεκτῇσιν μελίῃσι
spearmen eager with-outstretched ash-spears
θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσι·
corselets to-break of-the-foe around breasts
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
with-him and together forty black ships followed
Οἱ δ' ἄρ' Ἀθήνας εἶχον, ἐϋκτίμενον πτολίεθρον,
They and then Athens held well-built citadel
δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
the-people of-Erechtheus great-hearted whom once Athena
θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα,
reared of-Zeus daughter bore and grain-giving the-earth

κὰδ δ' ἐν Ἀθήνῃς εἶσεν, ἑῷ ἐν πίονι νηῷ·
down and in Athens she-set(-him) her-own in rich temple
ἔνθα δέ μιν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται
there and him with-bulls and rams they-propitiate
κοῦροι Ἀθηναίων περιτελλομένων ἐνιαυτῶν·
youths of-the-Athenians rolling-round years
τῶν αὖθ' ἡγεμόνευ' υἱὸς Πετεῶο Μενεσθεύς.
of-them in-turn led the-son of-Peteos Menestheus
τῷ δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
to-him and not yet anyone like earthly was man
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας·
to-marshal horses both and men shield-bearing
Νέστωρ οἷος ἔριζεν· ὁ γὰρ προγενέστερος ἦεν·
Nestor alone rivaled(-him) he for older was
τῷ δ' ἅμα πεντήκοντα μέλαιναι νῆες ἕποντο.
with-him and together fifty black ships followed
Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
Ajax and from Salamis led twelve ships
στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.
stationed(-them) and leading where of-the-Athenians stood the-ranks
Οἱ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν,
They and Argos both held Tiryns and walled
Ἑρμιόνην Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας,
Hermione Asine and deep along gulf lying
Τροιζῆν' Ἠιόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον,
Troezen Eiones both and vine-clad Epidaurus
οἵ τ' ἔχον Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν,
who and held Aegina Mases and youths of-the-Achaeans

τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
of-them in-turn led at-the-war-cry good Diomedes
καὶ Σθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός·
and Sthenelus of-Capaneus very-glorious dear son
τοῖσι δ' ἅμ' Εὐρύαλος τρίτατος κίεν, ἰσόθεος φώς,
with-them and together Euryalus third went godlike man
Μηκιστέος υἱὸς Ταλαϊονίδαο ἄνακτος·
of-Mecisteus son son-of-Talaus lord
συμπάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης·
of-all-together and was-leader at-the-war-cry good Diomedes
τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
with-them and together eighty black ships followed

II.9 · THE CATALOG: MYCENAE TO RHODES

Agamemnon leads a hundred ships from Mycenae, the largest force, and Menelaus sixty from Lacedaemon, eager to avenge Helen. Nestor brings ninety from Pylos, in whose realm the Muses maimed Thamyris for his boasting. Then come the Arcadians in ships Agamemnon gave them, the Epeians of Elis, Meges from Dulichium, Odysseus with twelve ships, Thoas with the Aetolians, and Idomeneus and Meriones with eighty from Crete. Tlepolemus, son of Heracles, brings nine from Rhodes, where he fled after killing his father's uncle.

Οἱ δὲ Μυκήνας εἶχον, ἐϋκτίμενον πτολίεθρον,
They and Mycenae held well-built citadel
ἀφνειόν τε Κόρινθον ἐϋκτιμένας τε Κλεωνάς,
wealthy and Corinth well-built and Cleonae
Ὀρνειάς τ' ἐνέμοντο Ἀραιθυρέην τ' ἐρατεινὴν
Orneiae and dwelt-in Araethyrea and lovely
καὶ Σικυῶν', ὅθ' ἄρ' Ἄδρηστος πρῶτ' ἐμβασίλευεν,
and Sicyon where then Adrastus at-first was-king

οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Γονόεσσαν
who and Hyperesia both and steep Gonoessa
Πελλήνην τ' εἶχον ἠδ' Αἴγιον ἀμφινέμοντο
Pellene and held and Aegium dwelt-around
Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν,
Aegialus and through all and around Helice broad
τῶν ἑκατὸν νηῶν ἦρχε κρείων Ἀγαμέμνων
of-them a-hundred ships led lord Agamemnon
Ἀτρεΐδης· ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι
the-son-of-Atreus together-with him indeed by-far most and best
λαοὶ ἕποντ'· ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκὸν
people followed in and himself put-on gleaming bronze
κυδιόων, πᾶσιν δὲ μετέπρεπεν ἡρώεσσιν,
exulting all and he-was-conspicuous-among heroes
οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς.
because best he-was by-far and most he-led people
Οἱ δ' εἶχον κοίλην Λακεδαίμονα κητώεσσαν,
They and held hollow Lacedaemon full-of-ravines
Φᾶρίν τε Σπάρτην τε πολυτρήρωνά τε Μέσσην,
Pharis both Sparta and many-doved and Messe
Βρυσειάς τ' ἐνέμοντο καὶ Αὐγειὰς ἐρατεινάς,
Bryseiae and dwelt-in and Augeiae lovely
οἵ τ' ἄρ' Ἀμύκλας εἶχον Ἕλος τ', ἔφαλον πτολίεθρον,
who and then Amyclae held Helos and by-the-sea citadel
οἵ τε Λάαν εἶχον ἠδ' Οἴτυλον ἀμφενέμοντο,
who and Laas held and Oetylus dwelt-around
τῶν οἱ ἀδελφεὸς ἦρχε, βοὴν ἀγαθὸς Μενέλαος,
of-them his brother led at-the-war-cry good Menelaus
ἑξήκοντα νεῶν· ἀπάτερθε δὲ θωρήσσοντο·
sixty ships apart and they-armed

ἐν δ' αὐτὸς κίεν ἦσι προθυμίῃσι πεποιθώς,
in and himself went in-his-own eagerness trusting
ὀτρύνων πόλεμόνδε· μάλιστα δὲ ἵετο θυμῷ
urging(-them) to-war most and he-longed in-heart
τείσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε.
to-avenge of-Helen the-strivings both groans and
Οἱ δὲ Πύλον τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινὴν
They and Pylos both dwelt-in and Arene lovely
καὶ Θρύον, Ἀλφειοῖο πόρον, καὶ ἐΰκτιτον Αἰπύ,
and Thryum of-Alpheus the-ford and well-built Aepy
καὶ Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν ἔναιον,
and Cyparisseis and Amphigeneia dwelt-in
καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον, ἔνθα τε Μοῦσαι
and Pteleum and Helos and Dorium where — the-Muses
ἀντόμεναι Θάμυριν τὸν Θρήϊκα παῦσαν ἀοιδῆς,
meeting Thamyris the Thracian stopped from-song
Οἰχαλίηθεν ἰόντα παρ' Εὐρύτου Οἰχαλιῆος·
from-Oechalia coming from Eurytus the-Oechalian
στεῦτο γὰρ εὐχόμενος νικησέμεν, εἴ περ ἂν αὐταὶ
he-vowed for boasting to-win if indeed — themselves
Μοῦσαι ἀείδοιεν, κοῦραι Διὸς αἰγιόχοιο·
the-Muses should-sing daughters of-Zeus aegis-bearing
αἱ δὲ χολωσάμεναι πηρὸν θέσαν, αὐτὰρ ἀοιδὴν
they and having-been-angered maimed made(-him) but the-song
θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν·
divine they-took-away and made-him-forget the-lyre-playing
τῶν αὖθ' ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ·
of-them in-turn led Gerenian horseman Nestor
τῷ δ' ἐνενήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
with-him and ninety hollow ships marched-in-line

Οἱ δ' ἔχον Ἀρκαδίην ὑπὸ Κυλλήνης ὄρος αἰπύ,
They and held Arcadia beneath of-Cyllene the-mountain steep
Αἰπύτιον παρὰ τύμβον, ἵν' ἀνέρες ἀγχιμαχηταί,
Aepytus's beside tomb where men close-fighters
οἳ Φενεόν τε νέμοντο καὶ Ὀρχομενὸν πολύμηλον
who Pheneus both dwelt-in and Orchomenus rich-in-flocks
Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν Ἐνίσπην,
Rhipe both Stratia both and windy Enispe
καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν,
and Tegea held and Mantinea lovely
Στύμφηλόν τ' εἶχον καὶ Παρρασίην ἐνέμοντο,
Stymphalus and held and Parrhasia dwelt-in
τῶν ἦρχ' Ἀγκαίοιο πάϊς, κρείων Ἀγαπήνωρ,
of-them led of-Ancaeus the-son lord Agapenor
ἑξήκοντα νεῶν· πολέες δ' ἐν νηῒ ἑκάστῃ
sixty ships many and in ship each
Ἀρκάδες ἄνδρες ἔβαινον, ἐπιστάμενοι πολεμίζειν.
Arcadian men went knowing to-fight
αὐτὸς γάρ σφιν δῶκεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
himself for to-them gave lord of-men Agamemnon
νῆας ἐϋσσέλμους περάαν ἐπὶ οἴνοπα πόντον
ships well-benched to-cross over wine-dark sea
Ἀτρεΐδης, ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει.
the-son-of-Atreus since not to-them of-the-sea works were-a-care
Οἱ δ' ἄρα Βουπράσιόν τε καὶ Ἤλιδα δῖαν ἔναιον,
They and then Buprasium both and Elis bright dwelt-in
ὅσσον ἐφ' Ὑρμίνῃ καὶ Μύρσινος ἐσχατόωσα
as-much-as on Hyrmine and Myrsinus farthest
πέτρη τ' Ὠλενίη καὶ Ἀλήσιον ἐντὸς ἐέργει,
the-rock and Olenian and Alesium within encloses

τῶν αὖ τέσσαρες ἀρχοὶ ἔσαν, δέκα δ' ἀνδρὶ ἑκάστῳ
of-them in-turn four leaders were ten and with-man each
νῆες ἕποντο θοαί, πολέες δ' ἔμβαινον Ἐπειοί.
ships followed swift many and embarked Epeians
τῶν μὲν ἄρ' Ἀμφίμαχος καὶ Θάλπιος ἡγησάσθην
of-them indeed then Amphimachus and Thalpius led
υἷες ὁ μὲν Κτεάτου, ὁ δ' ἄρ' Εὐρύτου, Ἀκτορίωνε·
sons he indeed of-Cteatus he and then of-Eurytus of-Actor's-line
τῶν δ' Ἀμαρυγκεΐδης ἦρχε κρατερὸς Διώρης·
of-them and son-of-Amarynceus led mighty Diores
τῶν δὲ τετάρτων ἦρχε Πολύξεινος θεοειδής,
of-them and the-fourth led Polyxeinus godlike
υἱὸς Ἀγασθένεος Αὐγηϊάδαο ἄνακτος.
son of-Agasthenes son-of-Augeias lord
Οἱ δ' ἐκ Δουλιχίοιο Ἐχινάων θ' ἱεράων
They and from Dulichium the-Echinae and holy
νήσων, αἳ ναίουσι πέρην ἁλὸς Ἤλιδος ἄντα,
islands which lie across the-sea Elis facing
τῶν αὖθ' ἡγεμόνευε Μέγης ἀτάλαντος Ἀρηϊ
of-them in-turn led Meges equal to-Ares
Φυλεΐδης, ὃν τίκτε Διῒ φίλος ἱππότα Φυλεύς,
son-of-Phyleus whom begot to-Zeus dear horseman Phyleus
ὅς ποτε Δουλίχιόνδ' ἀπενάσσατο πατρὶ χολωθείς·
who once to-Dulichium moved-away with-father angered
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
with-him and together forty black ships followed
Αὐτὰρ Ὀδυσσεὺς ἦγε Κεφαλλῆνας μεγαθύμους,
But Odysseus led Cephallenians great-hearted
οἵ ῥ' Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοσίφυλλον,
who then Ithaca held and Neritum with-quivering-leaves

καὶ Κροκύλειʼ ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν,
and Crocyleia dwelt-in and Aegilips rugged
οἵ τε Ζάκυνθον ἔχον ἠδʼ οἳ Σάμον ἀμφινέμοντο,
who and Zacynthus held and who Samos dwelt-around
οἵ τʼ ἤπειρον ἔχον ἠδʼ ἀντιπέραιʼ ἐνέμοντο· 635
who and the-mainland held and the-opposite-shore dwelt-in
τῶν μὲν Ὀδυσσεὺς ἦρχε Διὶ μῆτιν ἀτάλαντος·
of-them indeed Odysseus led to-Zeus in-counsel equal
τῷ δʼ ἅμα νῆες ἕποντο δυώδεκα μιλτοπάρῃοι.
with-him and together ships followed twelve red-cheeked
Αἰτωλῶν δʼ ἡγεῖτο Θόας Ἀνδραίμονος υἱός,
of-the-Aetolians and was-leader Thoas of-Andraemon son
οἳ Πλευρῶν ἐνέμοντο καὶ Ὤλενον ἠδὲ Πυλήνην
who Pleuron dwelt-in and Olenus and Pylene
Χαλκίδα τʼ ἀγχίαλον Καλυδῶνά τε πετρήεσσαν· 640
Chalcis and near-the-sea Calydon and rocky
οὐ γὰρ ἔτʼ Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,
not for longer of-Oeneus great-hearted sons were
οὐδʼ ἄρʼ ἔτʼ αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος·
nor then longer himself he-was died and fair-haired Meleager
τῷ δʼ ἐπὶ πάντʼ ἐτέταλτο ἀνασσέμεν Αἰτωλοῖσι·
to-him and over all it-had-been-enjoined to-rule the-Aetolians
τῷ δʼ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
with-him and together forty black ships followed
Κρητῶν δʼ Ἰδομενεὺς δουρικλυτὸς ἡγεμόνευεν, 645
of-the-Cretans and Idomeneus spear-famed was-leader
οἳ Κνωσόν τʼ εἶχον Γόρτυνά τε τειχιόεσσαν,
who Cnossus both held Gortyn and walled

Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαστον
Lyctus Miletus both and white-shining Lycastus
Φαιστόν τε Ῥύτιόν τε, πόλεις εὖ ναιετοώσας,
Phaestus both Rhytium and cities well inhabited
ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο.
others and who Crete hundred-citied dwelt-around
τῶν μὲν ἄρ' Ἰδομενεὺς δουρικλυτὸς ἡγεμόνευε
of-them indeed then Idomeneus spear-famed was-leader
Μηριόνης τ' ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ·
Meriones and equal to-Enyalius man-slaying
τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο.
with-them and together eighty black ships followed
Τληπόλεμος δ' Ἡρακλεΐδης ἠΰς τε μέγας τε
Tlepolemus and son-of-Heracles noble both tall and
ἐκ Ῥόδου ἐννέα νῆας ἄγεν Ῥοδίων ἀγερώχων,
from Rhodes nine ships led of-the-Rhodians lordly
οἳ Ῥόδον ἀμφενέμοντο διὰ τρίχα κοσμηθέντες,
who Rhodes dwelt-around in three-ways marshaled
Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον.
Lindus Ialysus both and white-shining Cameirus
τῶν μὲν Τληπόλεμος δουρικλυτὸς ἡγεμόνευεν,
of-them indeed Tlepolemus spear-famed was-leader
ὃν τέκεν Ἀστυόχεια βίῃ Ἡρακληείῃ,
whom bore Astyocheia to-the-might of-Heracles
τὴν ἄγετ' ἐξ Ἐφύρης ποταμοῦ ἄπο Σελλήεντος,
whom he-led from Ephyra the-river from Selleis
πέρσας ἄστεα πολλὰ διοτρεφέων αἰζηῶν.
having-sacked towns many of-Zeus-nurtured warriors
Τληπόλεμος δ' ἐπεὶ οὖν τράφ' ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Tlepolemus and when then he-was-reared in hall well-built

αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα
at-once of-father his-own dear uncle he-killed
ἤδη γηράσκοντα Λικύμνιον, ὄζον Ἄρηος·
already growing-old Licymnius scion of-Ares
αἶψα δὲ νῆας ἔπηξε, πολὺν δ᾽ ὅ γε λαὸν ἀγείρας
quickly and ships he-built many and he indeed people having-gathered
βῆ φεύγων ἐπὶ πόντον· ἀπείλησαν γάρ οἱ ἄλλοι
went fleeing over the-sea threatened for him the-others
υἱέες υἱωνοί τε βίης Ἡρακληείης.
sons grandsons and of-the-might of-Heracles
αὐτὰρ ὅ γ᾽ ἐς Ῥόδον ἶξεν ἀλώμενος, ἄλγεα πάσχων·
but he indeed to Rhodes came wandering pains suffering
τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν, ἠδ᾽ ἐφίληθεν
in-three-parts and they-settled by-tribes and were-loved
ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει,
by Zeus who — over-gods and men rules
καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.
and on-them marvelous wealth poured-down the-son-of-Cronus

Nireus, the handsomest Achaean after Achilles, brings three ships, and the sons of Thessalus thirty from Cos and the islands. Achilles' fifty ships from Phthia stand idle while he lies angry over Briseis. Protesilaus, the first Achaean killed at Troy, is mourned, and his brother Podarces leads his men. Eumelus follows. Philoctetes lies wounded on Lemnos, and Medon leads his men. The catalog ends with Asclepius' sons Podalirius and Machaon, then Eurypylus, Polypoetes and Leonteus, Guneus, and Prothous.

Νιρεὺς αὖ Σύμηθεν ἄγε τρεῖς νῆας ἐΐσας,
Nireus in-turn from-Syme led three ships balanced
Νιρεὺς Ἀγλαΐης υἱὸς Χαρόποιό τ' ἄνακτος,
Nireus of-Aglaea son of-Charopus and lord
Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε
Nireus who most-handsome man beneath Ilium came
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα·
of-the other Danaans after blameless the-son-of-Peleus
ἀλλ' ἀλαπαδνὸς ἔην, παῦρος δέ οἱ εἵπετο λαός.
but feeble he-was few and him followed people

Οἱ δ' ἄρα Νίσυρόν τ' εἶχον Κράπαθόν τε Κάσον τε
They and then Nisyrus both held Crapathus both Casus and
καὶ Κῶν Εὐρυπύλοιο πόλιν νήσους τε Καλύδνας,
and Cos of-Eurypylus city islands and Calydnian
τῶν αὖ Φειδιππός τε καὶ Ἄντιφος ἡγησάσθην,
of-them in-turn Pheidippus both and Antiphus led
Θεσσαλοῦ υἷε δύω Ἡρακλεΐδαο ἄνακτος·
of-Thessalus sons two of-the-son-of-Heracles lord
τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
with-them and thirty hollow ships marched-in-line

Νῦν αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον,
Now in-turn those as-many-as the Pelasgian Argos dwelt-in
οἵ τ' Ἄλον οἵ τ' Ἀλόπην οἵ τε Τρηχῖνα νέμοντο,
who and Alus who and Alope who and Trachis dwelt-in
οἵ τ' εἶχον Φθίην ἠδ' Ἑλλάδα καλλιγύναικα,
who and held Phthia and Hellas of-fair-women
Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί,
Myrmidons and they-were-called and Hellenes and Achaeans
τῶν αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸς Ἀχιλλεύς.
of-them in-turn of-fifty ships was leader Achilles
ἀλλ' οἵ γ' οὐ πολέμοιο δυσηχέος ἐμνώοντο·
but they indeed not of-war ill-sounding were-mindful
οὐ γὰρ ἔην ὅς τίς σφιν ἐπὶ στίχας ἡγήσαιτο·
not for there-was who any them into ranks might-lead
κεῖτο γὰρ ἐν νήεσσι ποδάρκης δῖος Ἀχιλλεύς,
lay for in ships swift-footed noble Achilles
κούρης χωόμενος Βρισηΐδος ἠϋκόμοιο,
for-the-girl angered Briseis lovely-haired
τὴν ἐκ Λυρνησσοῦ ἐξείλετο πολλὰ μογήσας
whom from Lyrnessus he-chose-out much having-labored
Λυρνησσὸν διαπορθήσας καὶ τείχεα Θήβης,
Lyrnessus having-sacked and the-walls of-Thebe
κὰδ δὲ Μύνητ' ἔβαλεν καὶ Ἐπίστροφον ἐγχεσιμώρους,
down and Mynes he-struck and Epistrophus raging-with-the-spear
υἱέας Εὐηνοῖο Σελεπιάδαο ἄνακτος·
sons of-Evenus son-of-Selepius lord
τῆς ὅ γε κεῖτ' ἀχέων, τάχα δ' ἀνστήσεσθαι ἔμελλεν.
for-her he indeed lay grieving soon and to-rise-up he-was-destined

Οἱ δ' εἶχον Φυλάκην καὶ Πύρασον ἀνθεμόεντα,
They and held Phylace and Pyrasus flowery
Δήμητρος τέμενος, Ἴτωνά τε μητέρα μήλων,
of-Demeter precinct Iton and mother of-flocks
ἀγχίαλόν τ' Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην,
near-the-sea and Antron and Pteleum grassy
τῶν αὖ Πρωτεσίλαος ἀρήϊος ἡγεμόνευε
of-them in-turn Protesilaus warlike was-leader
ζωὸς ἐών· τότε δ' ἤδη ἔχεν κάτα γαῖα μέλαινα.
alive being then and already held(-him) down earth black
τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο
of-him and also with-torn-cheeks a-wife in-Phylace was-left
καὶ δόμος ἡμιτελής· τὸν δ' ἔκτανε Δάρδανος ἀνὴρ
and house half-finished him and killed a-Dardanian man
νηὸς ἀποθρῴσκοντα πολὺ πρώτιστον Ἀχαιῶν.
from-the-ship leaping-forth by-far first of-the-Achaeans
οὐδὲ μὲν οὐδ' οἱ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
nor indeed even they leaderless were they-longed-for indeed yet the-leader
ἀλλά σφεας κόσμησε Ποδάρκης, ὄζος Ἄρηος,
but them marshaled Podarces scion of-Ares
Ἰφίκλου υἱὸς πολυμήλου Φυλακίδαο,
of-Iphiclus son of-rich-in-flocks son-of-Phylacus
αὐτοκασίγνητος μεγαθύμου Πρωτεσιλάου
own-brother of-great-hearted Protesilaus
ὁπλότερος γενεῇ· ὁ δ' ἅμα πρότερος καὶ ἀρείων
younger in-birth he and at-once older and better
ἥρως Πρωτεσίλαος ἀρήϊος· οὐδέ τι λαοὶ
the-hero Protesilaus warlike nor at-all the-people

δεύονθ' ἡγεμόνος, πόθεόν γε μὲν ἐσθλὸν ἐόντα·
lacked a-leader they-longed-for indeed yet noble being
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
with-him and together forty black ships followed
Οἱ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην,
They and Pherae dwelt-in beside Boebeian lake
Βοίβην καὶ Γλαφύρας καὶ ἐϋκτιμένην Ἰαωλκόν,
Boebe and Glaphyrae and well-built Iolcus
τῶν ἦρχ' Ἀδμήτοιο φίλος πάϊς ἕνδεκα νηῶν
of-them led of-Admetus dear son eleven ships
Εὔμηλος, τὸν ὑπ' Ἀδμήτῳ τέκε δῖα γυναικῶν
Eumelus whom by Admetus bore bright of-women
Ἄλκηστις, Πελίαο θυγατρῶν εἶδος ἀρίστη.
Alcestis of-Pelias of-daughters in-form best
Οἱ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο
They and then Methone and Thaumacia dwelt-in
καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν,
and Meliboea held and Olizon rugged
τῶν δὲ Φιλοκτήτης ἦρχεν τόξων εὖ εἰδὼς
of-them and Philoctetes led of-bows well knowing
ἑπτὰ νεῶν· ἐρέται δ' ἐν ἑκάστῃ πεντήκοντα
seven ships rowers and in each fifty
ἐμβέβασαν, τόξων εὖ εἰδότες ἶφι μάχεσθαι.
embarked of-bows well knowing mightily to-fight
ἀλλ' ὁ μὲν ἐν νήσῳ κεῖτο κρατέρ' ἄλγεα πάσχων,
but he indeed in island lay strong pains suffering
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες Ἀχαιῶν
Lemnos in sacred where him left the-sons of-the-Achaeans
ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου·
with-wound tormented evil of-deadly water-snake

ἔνθ᾽ ὅ γε κεῖτ᾽ ἀχέων· τάχα δὲ μνήσεσθαι ἔμελλον
there he indeed lay grieving soon and to-remember were-destined
Ἀργεῖοι παρὰ νηυσὶ Φιλοκτήταο ἄνακτος.
the-Argives beside the-ships of-Philoctetes lord
οὐδὲ μὲν οὐδ᾽ οἱ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
nor indeed even they leaderless were they-longed-for indeed yet the-leader
ἀλλὰ Μέδων κόσμησεν Ὀϊλῆος νόθος υἱός,
but Medon marshaled(-them) of-Oileus bastard son
τόν ῥ᾽ ἔτεκεν Ῥήνη ὑπ᾽ Ὀϊλῆϊ πτολιπόρθῳ.
whom then bore Rhene by Oileus sacker-of-cities
Οἱ δ᾽ εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεσσαν,
They and held Tricca and Ithome rocky
οἵ τ᾽ ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχαλιῆος,
who and held Oechalia city of-Eurytus the-Oechalian
τῶν αὖθ᾽ ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδε,
of-them in-turn led of-Asclepius two sons
ἰητῆρ᾽ ἀγαθώ, Ποδαλείριος ἠδὲ Μαχάων·
healers good Podalirius and Machaon
τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο.
with-them and thirty hollow ships marched-in-line
Οἱ δ᾽ ἔχον Ὀρμένιον, οἵ τε κρήνην Ὑπέρειαν,
They and held Ormenius who and spring Hypereia
οἵ τ᾽ ἔχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα,
who and held Asterium of-Titanus and white peaks
τῶν ἦρχ᾽ Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός·
of-them led Eurypylus of-Euaemon glorious son
τῷ δ᾽ ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
with-him and together forty black ships followed

Οἱ δ' Ἄργισσαν ἔχον καὶ Γυρτώνην ἐνέμοντο,
They and Argissa held and Gyrtone dwelt-in
Ὄρθην Ἠλώνην τε πόλιν τ' Ὀλοοσσόνα λευκήν,
Orthe Elone both city and Oloosson white
τῶν αὖθ' ἡγεμόνευε μενεπτόλεμος Πολυποίτης,
of-them in-turn was-leader steadfast-in-war Polypoetes
υἱὸς Πειριθόοιο, τὸν ἀθάνατος τέκετο Ζεύς·
son of-Pirithous whom immortal begot Zeus
τόν ῥ' ὑπὸ Πειριθόῳ τέκετο κλυτὸς Ἱπποδάμεια
whom then by Pirithous bore famed Hippodameia
ἤματι τῷ ὅτε Φῆρας ἐτείσατο λαχνήεντας,
on-day that when the-Beasts he-punished shaggy
τοὺς δ' ἐκ Πηλίου ὦσε καὶ Αἰθίκεσσι πέλασσεν·
them and from Pelion he-thrust and to-the-Aethices brought(-them)
οὐκ οἷος, ἅμα τῷ γε Λεοντεύς, ὄζος Ἄρηος,
not alone with him indeed Leonteus scion of-Ares
υἱὸς ὑπερθύμοιο Κορώνου Καινείδαο·
son of-high-hearted Coronus son-of-Caeneus
τοῖς δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
with-them and together forty black ships followed
Γουνεὺς δ' ἐκ Κύφου ἦγε δύω καὶ εἴκοσι νῆας·
Guneus and from Cyphus led two and twenty ships
τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί,
with-him and the-Enienes followed steadfast-in-war and Perrhaebians
οἳ περὶ Δωδώνην δυσχείμερον οἰκί' ἔθεντο,
who around Dodona wintry homes made
οἵ τ' ἀμφ' ἱμερτὸν Τιταρησσὸν ἔργ' ἐνέμοντο,
who and around lovely Titaressus fields tilled
ὅς ῥ' ἐς Πηνειὸν προΐει καλλίρροον ὕδωρ,
which then into the-Peneius sends-forth fair-flowing water

οὐδ' ὅ γε Πηνειῷ συμμίσγεται ἀργυροδίνῃ,
nor it indeed with-the-Peneius mingles silver-eddying
ἀλλά τέ μιν καθύπερθεν ἐπιρρέει ἠΰτ' ἔλαιον·
but — it from-above flows-on like oil
ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ.
of-the-oath for dread of-Styx water is an-offshoot
Μαγνήτων δ' ἦρχε Πρόθοος Τενθρηδόνος υἱός,
of-the-Magnetes and led Prothous of-Tenthredon son
οἳ περὶ Πηνειὸν καὶ Πήλιον εἰνοσίφυλλον
who around the-Peneius and Pelion with-quivering-leaves
ναίεσκον· τῶν μὲν Πρόθοος θοὸς ἡγεμόνευε,
dwelt of-them indeed Prothous swift was-leader
τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
with-him and together forty black ships followed

II.11 · THE TROJANS MUSTER

The best horses are Eumelus' mares, and the best man is Ajax while Achilles stays apart, his men idle on the shore. The army advances like fire, and the earth groans as when Zeus lashes it around Typhoeus. Iris, in the likeness of Priam's son Polites, tells the Trojan assembly that an army like the leaves is coming over the plain. She bids Hector let each ally's leader marshal his own men. Hector dissolves the assembly, and the Trojans and their allies form up at the mound called Batieia.

Οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν·
These then leaders of-the-Danaans and lords were
τίς τ' ἂρ τῶν ὄχ' ἄριστος ἔην, σύ μοι ἔννεπε, Μοῦσα,
who and then of-them by-far best was you to-me tell Muse
αὐτῶν ἠδ' ἵππων, οἳ ἅμ' Ἀτρεΐδῃσιν ἕποντο.
of-themselves and of-the-horses who with the-sons-of-Atreus followed

Ἵπποι μὲν μέγ᾽ ἄρισται ἔσαν Φηρητιάδαο,
Horses indeed by-far best were of-the-son-of-Pheres
τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς,
which Eumelus drove swift-footed birds like
ὄτριχας οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας·
of-like-coat of-like-age by-the-level on back equal
τὰς ἐν Πηρείῃ θρέψ᾽ ἀργυρότοξος Ἀπόλλων,
which in Pereia reared silver-bowed Apollo
ἄμφω θηλείας, φόβον Ἄρηος φορεούσας.
both mares the-terror of-Ares bearing
ἀνδρῶν αὖ μέγ᾽ ἄριστος ἔην Τελαμώνιος Αἴας,
of-men in-turn by-far best was Telamonian Ajax
ὄφρ᾽ Ἀχιλεὺς μήνιεν· ὁ γὰρ πολὺ φέρτατος ἦεν,
while Achilles raged he for by-far mightiest was
ἵπποι θ᾽, οἳ φορέεσκον ἀμύμονα Πηλεΐωνα.
horses and which used-to-carry blameless the-son-of-Peleus
ἀλλ᾽ ὁ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι
but he indeed in ships curved seafaring
κεῖτ᾽ ἀπομηνίσας Ἀγαμέμνονι ποιμένι λαῶν
lay having-raged-apart against-Agamemnon shepherd of-the-people
Ἀτρεΐδῃ· λαοὶ δὲ παρὰ ῥηγμῖνι θαλάσσης
son-of-Atreus the-people and beside the-surf-line of-the-sea
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες
with-discuses delighted-themselves and with-javelins throwing
τόξοισίν θ᾽· ἵπποι δὲ παρ᾽ ἅρμασιν οἷσιν ἕκαστος
with-bows and horses and beside chariots their-own each
λωτὸν ἐρεπτόμενοι ἑλεόθρεπτόν τε σέλινον
clover cropping marsh-bred and parsley
ἕστασαν· ἅρματα δ᾽ εὖ πεπυκασμένα κεῖτο ἀνάκτων
stood the-chariots and well covered lay of-the-lords

ἐν κλισίῃς· οἱ δ' ἀρχὸν ἀρηΐφιλον ποθέοντες
in huts they and the-leader dear-to-Ares longing-for
φοίτων ἔνθα καὶ ἔνθα κατὰ στρατὸν οὐδὲ μάχοντο.
roamed here and there through the-host nor fought
Οἱ δ' ἄρ' ἴσαν ὡς εἴ τε πυρὶ χθὼν πᾶσα νέμοιτο·
They and then went as if — with-fire land all were-consumed
γαῖα δ' ὑπεστενάχιζε Διὶ ὣς τερπικεραύνῳ
the-earth and groaned-beneath to-Zeus as delighting-in-thunder
χωομένῳ, ὅτε τ' ἀμφὶ Τυφωεῖ γαῖαν ἱμάσσῃ
angered when — around Typhoeus the-earth he-lashes
εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς·
in Arima where they-say of-Typhoeus to-be the-bed
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ μέγα στεναχίζετο γαῖα
so then of-them under feet greatly groaned the-earth
ἐρχομένων· μάλα δ' ὦκα διέπρησσον πεδίοιο.
going very and quickly they-crossed the-plain
Τρωσὶν δ' ἄγγελος ἦλθε ποδήνεμος ὠκέα Ἶρις
to-the-Trojans and messenger came wind-footed swift Iris
πὰρ Διὸς αἰγιόχοιο σὺν ἀγγελίῃ ἀλεγεινῇ·
from Zeus aegis-bearing with message grievous
οἱ δ' ἀγοραὶς ἀγόρευον ἐπὶ Πριάμοιο θύρῃσι
they and assemblies were-holding at of-Priam doors
πάντες ὁμηγερέες, ἠμὲν νέοι ἠδὲ γέροντες·
all assembled both young and old
ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
near and standing addressed in-feet swift Iris
εἴσατο δὲ φθογγὴν υἱῖ Πριάμοιο Πολίτῃ,
she-likened(-herself) and in-voice to-the-son of-Priam Polites
ὃς Τρώων σκοπὸς ἷζε, ποδωκείῃσι πεποιθώς,
who of-the-Trojans as-scout sat in-swift-feet trusting

τύμβῳ ἐπ᾽ ἀκροτάτῳ Αἰσυήταο γέροντος,
tomb on topmost of-Aesyetes old
δέγμενος ὁππότε ναῦφιν ἀφορμηθεῖεν Ἀχαιοί·
waiting when from-the-ships might-set-out the-Achaeans
τῷ μιν ἐεισαμένη προσέφη πόδας ὠκέα Ἶρις·
to-him him having-likened addressed in-feet swift Iris
"ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν,
O old-man always to-you words dear endless are
ὥς ποτ᾽ ἐπ᾽ εἰρήνης· πόλεμος δ᾽ ἀλίαστος ὄρωρεν.
as once in peace war and unceasing has-arisen
ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν,
truly indeed now very many battles I-have-entered of-men
ἀλλ᾽ οὔ πω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα·
but not yet such so-great and an-army I-have-seen
λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν
exceedingly for to-leaves like or to-sands
ἔρχονται πεδίοιο μαχησόμενοι προτὶ ἄστυ.
they-come over-the-plain to-fight against the-town
Ἕκτορ, σοὶ δὲ μάλιστ᾽ ἐπιτέλλομαι, ὧδε δὲ ῥέξαι·
Hector to-you and most I-enjoin thus and to-act
πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι,
many for throughout the-town great of-Priam allies
ἄλλη δ᾽ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων·
other and of-others the-tongue of-widely-scattered men
τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω οἷσί περ ἄρχει,
to-them each man let-him-give-orders whom indeed he-leads
τῶν δ᾽ ἐξηγείσθω κοσμησάμενος πολίτας."
of-them and let-him-lead having-marshaled the-citizens

Ὣς ἔφαθ', Ἕκτωρ δ' οὔ τι θεᾶς ἔπος ἠγνοίησεν,
So she-spoke Hector and not at-all of-the-goddess the-word failed-to-know
αἶψα δὲ λῦσ' ἀγορήν· ἐπὶ τεύχεα δ' ἐσσεύοντο·
quickly and he-dissolved the-assembly to arms and they-rushed
πᾶσαι δ' ὠΐγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαός,
all and were-opened the-gates out and rushed the-people
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
on-foot both horsemen and great and din arose
Ἔστι δέ τις προπάροιθε πόλιος αἰπεῖα κολώνη,
There-is and a-certain before the-city steep mound
ἐν πεδίῳ ἀπάνευθε, περίδρομος ἔνθα καὶ ἔνθα,
in plain apart running-round here and there
τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν,
it truly men Batieia call
ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης·
the-immortals and — the-tomb of-much-bounding Myrine
ἔνθα τότε Τρῶές τε διέκριθεν ἠδ' ἐπίκουροι.
there then Trojans both were-marshaled and allies

Hector leads the Trojans, and Aeneas the Dardanians with two sons of Antenor. Pandarus leads the men of Zeleia, and the sons of the seer Merops come in spite of his warning. The allies follow: Asius with the Hellespontine towns, the Pelasgians, the Thracians, the Cicones, the Paeonians, the Paphlagonians, the Halizones, the Mysians, and the Phrygians. Last come the Maeonians, the Carians, one of whose leaders wears gold to war like a girl, and Sarpedon and Glaucus with the Lycians.

Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ
The-Trojans indeed led great helmet-flashing Hector
Πριαμίδης· ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι
son-of-Priam together-with him indeed by-far most and best
λαοὶ θωρήσσοντο μεμαότες ἐγχείῃσι.
people were-arming eager with-spears
Δαρδανίων αὖτ' ἦρχεν ἐϋς πάϊς Ἀγχίσαο,
of-the-Dardanians in-turn led the-noble son of-Anchises
Αἰνείας, τὸν ὑπ' Ἀγχίσῃ τέκε δῖ' Ἀφροδίτη, 820
Aeneas whom by Anchises bore noble Aphrodite
Ἴδης ἐν κνημοῖσι θεὰ βροτῷ εὐνηθεῖσα,
of-Ida on the-spurs a-goddess with-a-mortal having-lain
οὐκ οἷος, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε,
not alone with him indeed two of-Antenor sons
Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης εὖ εἰδότε πάσης.
Archelochus both Acamas and of-battle well knowing all
Οἱ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης,
They and Zeleia dwelt-in under foot lowest of-Ida
ἀφνειοί, πίνοντες ὕδωρ μέλαν Αἰσήποιο, 825
wealthy drinking water dark of-Aesepus

Τρῶες, τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱός,
Trojans of-them in-turn led of-Lycaon glorious son
Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν.
Pandarus to-whom also a-bow Apollo himself gave
Οἱ δ' Ἀδρήστειάν τ' εἶχον καὶ δῆμον Ἀπαισοῦ,
They and Adrasteia both held and the-land of-Apaesus
καὶ Πιτύειαν ἔχον καὶ Τηρείης ὄρος αἰπύ,
and Pityeia held and of-Tereia mountain steep
τῶν ἦρχ' Ἄδρηστός τε καὶ Ἄμφιος λινοθώρηξ
of-them led Adrastus both and Amphius linen-corseleted
υἷε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων
sons two of-Merops of-Percote who beyond all
ᾔδεε μαντοσύνας, οὐδὲ οὗς παῖδας ἔασκε
knew prophecies nor his-own sons would-allow
στείχειν ἐς πόλεμον φθισήνορα· τὼ δέ οἱ οὔ τι
to-go into war man-destroying they and him not at-all
πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
obeyed the-fates for led(-them) of-black death
Οἱ δ' ἄρα Περκώτην καὶ Πράκτιον ἀμφενέμοντο,
They and then Percote and Practius dwelt-around
καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην,
and Sestus and Abydus held and bright Arisbe
τῶν αὖθ' Ὑρτακίδης ἦρχ' Ἄσιος, ὄρχαμος ἀνδρῶν,
of-them in-turn son-of-Hyrtacus led Asius leader of-men
Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι
Asius son-of-Hyrtacus whom from-Arisbe carried horses
αἴθωνες μεγάλοι, ποταμοῦ ἄπο Σελλήεντος.
tawny great the-river from Selleis

Ἱππόθοος δ' ἄγε φῦλα Πελασγῶν ἐγχεσιμώρων,
Hippothous and led the-tribes of-the-Pelasgians raging-with-the-spear
τῶν οἳ Λάρισαν ἐριβώλακα ναιετάασκον·
of-those who Larisa deep-soiled dwelt-in
τῶν ἦρχ' Ἱππόθοός τε Πύλαιός τ', ὄζος Ἄρηος,
of-them led Hippothous both Pylaeus and scion of-Ares
υἷε δύω Λήθοιο Πελασγοῦ Τευταμίδαο.
sons two of-Lethus the-Pelasgian son-of-Teutamus
Αὐτὰρ Θρῄϊκας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως,
But the-Thracians led Acamas and Peirous hero
ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει.
as-many-as the-Hellespont strong-flowing within encloses
Εὔφημος δ' ἀρχὸς Κικόνων ἦν αἰχμητάων
Euphemus and leader of-the-Cicones was of-spearmen
υἱὸς Τροιζήνοιο διοτρεφέος Κεάδαο.
son of-Troezenus Zeus-nurtured son-of-Ceas
Αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους,
But Pyraechmes led the-Paeonians with-curved-bows
τηλόθεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος,
from-afar out-of Amydon from the-Axius wide flowing
Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν.
the-Axius whose fairest water spreads-over the-land
Παφλαγόνων δ' ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ
of-the-Paphlagonians and was-leader of-Pylaemenes the-shaggy heart
ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων,
from the-Eneti whence of-mules the-race wild

οἵ ῥα Κύτωρον ἔχον καὶ Σήσαμον ἀμφενέμοντο
who then Cytorus held and Sesamus dwelt-around
ἀμφί τε Παρθένιον ποταμὸν κλυτὰ δώματα ναῖον
around and Parthenius river famed homes dwelt-in
Κρῶμνάν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους.
Cromna and Aegialus both and high Erythini
Αὐτὰρ Ἁλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον
But of-the-Halizones Odius and Epistrophus were-leaders
τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.
from-afar out-of Alybe whence of-silver is the-birthplace
Μυσῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος οἰωνιστής·
of-the-Mysians and Chromis led and Ennomus augur
ἀλλ' οὐκ οἰωνοῖσιν ἐρύσατο κῆρα μέλαιναν,
but not by-birds he-warded-off doom black
ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
but he-was-subdued under the-hands of-the-swift-footed son-of-Aeacus
ἐν ποταμῷ, ὅθι περ Τρῶας κεράϊζε καὶ ἄλλους.
in the-river where indeed Trojans he-slaughtered and others
Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς
Phorcys in-turn Phrygians led and Ascanius godlike
τῆλ' ἐξ Ἀσκανίης· μέμασαν δ' ὑσμῖνι μάχεσθαι.
far from Ascania they-were-eager and in-combat to-fight
Μῄοσιν αὖ Μέσθλης τε καὶ Ἄντιφος ἡγησάσθην,
for-the-Maeonians in-turn Mesthles both and Antiphus led
υἷε Ταλαιμένεος, τὼ Γυγαίη τέκε λίμνη,
sons of-Talaemenes whom the-Gygaean bore lake
οἳ καὶ Μῄονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας.
who also Maeonians led beneath Tmolus born

Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων,
Nastes in-turn of-the-Carians led barbarous-tongued
οἳ Μίλητον ἔχον Φθιρῶν τ' ὄρος ἀκριτόφυλλον
who Miletus held of-the-Phthires and mountain with-dense-leaves
Μαιάνδρου τε ῥοὰς Μυκάλης τ' αἰπεινὰ κάρηνα·
of-Maeander and streams of-Mycale and steep peaks
τῶν μὲν ἄρ' Ἀμφίμαχος καὶ Νάστης ἡγησάσθην,
of-them indeed then Amphimachus and Nastes led
Νάστης Ἀμφίμαχός τε, Νομίονος ἀγλαὰ τέκνα,
Nastes Amphimachus and of-Nomion glorious children
ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠΰτε κούρη,
who even gold having to-war went like a-girl
νήπιος, οὐδέ τί οἱ τό γ' ἐπήρκεσε λυγρὸν ὄλεθρον,
fool nor at-all him this indeed warded-off-from grievous destruction
ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο
but he-was-subdued under the-hands of-the-swift-footed son-of-Aeacus
ἐν ποταμῷ, χρυσὸν δ' Ἀχιλεὺς ἐκόμισσε δαΐφρων.
in the-river the-gold and Achilles carried-off wise
Σαρπηδὼν δ' ἦρχεν Λυκίων καὶ Γλαῦκος ἀμύμων
Sarpedon and led of-the-Lycians and Glaucus blameless
τηλόθεν ἐκ Λυκίης, Ξάνθου ἄπο δινήεντος.
from-afar out-of Lycia Xanthus from eddying

BOOK III

III.1 · PARIS AND MENELAUS

The Trojans advance with a clamor like cranes, the Achaeans in silence, raising dust like a mist on the mountains. Alexander strides out in front in a leopard skin and challenges the best of the Argives. Menelaus sees him and rejoices like a hungry lion that has found a carcass, and leaps from his chariot; Alexander shrinks back into the throng like a man who has seen a snake.

Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ᾽ ἡγεμόνεσσιν ἕκαστοι,
But when they-were-marshaled with leaders each
Τρῶες μὲν κλαγγῇ τ᾽ ἐνοπῇ τ᾽ ἴσαν, ὄρνιθες ὥς,
the-Trojans indeed with-clamor both with-cry and went birds like
ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό,
as indeed the-clamor of-cranes is in-heaven before
αἵ τ᾽ ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον,
which — when then the-winter they-fled and unspeakable rain
κλαγγῇ ταί γε πέτονται ἐπ᾽ Ὠκεανοῖο ῥοάων,
with-clamor they indeed fly toward of-Ocean the-streams
ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι·
for-men Pygmy slaughter and doom bringing
ἠέριαι δ᾽ ἄρα ταί γε κακὴν ἔριδα προφέρονται·
early and then they indeed evil strife bring-forth
οἱ δ᾽ ἄρ᾽ ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί,
they and then went in-silence furies breathing the-Achaeans
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν.
in heart eager to-defend each-other

Εὖτ' ὄρεος κορυφῇσι Νότος κατέχευεν ὀμίχλην,
As of-a-mountain on-the-peaks Notus pours-down mist
ποιμέσιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω,
for-shepherds not at-all dear for-the-thief and — than-night better
τόσσον τίς τ' ἐπιλεύσσει ὅσον τ' ἐπὶ λᾶαν ἵησιν·
so-far one — sees as-far-as — on a-stone he-throws
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὄρνυτ' ἀελλὴς
so then of-them under feet a-dust-cloud arose thick
ἐρχομένων· μάλα δ' ὦκα διέπρησσον πεδίοιο.
going very and quickly they-crossed the-plain
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
They and when indeed near were against each-other going
Τρωσὶν μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδής,
for-the-Trojans indeed fought-in-front Alexander godlike
παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα
a-leopard-skin on-shoulders having and curved bow
καὶ ξίφος· αὐτὰρ δοῦρε δύω κεκορυθμένα χαλκῷ
and sword but spears two tipped with-bronze
πάλλων Ἀργείων προκαλίζετο πάντας ἀρίστους
brandishing of-the-Argives he-challenged all the-best
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι.
face-to-face to-fight in dread combat
Τὸν δ' ὡς οὖν ἐνόησεν ἀρηΐφιλος Μενέλαος
Him and when then noticed dear-to-Ares Menelaus
ἐρχόμενον προπάροιθεν ὁμίλου μακρὰ βιβάντα,
coming before the-throng long strides-taking
ὥς τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας,
as — a-lion rejoiced great on carcass having-chanced

εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
finding either a-deer horned or a-wild goat
πεινάων· μάλα γάρ τε κατεσθίει, εἴ περ ἂν αὐτὸν
hungry very for — he-devours if indeed — him
σεύωνται ταχέες τε κύνες θαλεροί τ' αἰζηοί·
should-chase swift both dogs lusty and young-men
ὣς ἐχάρη Μενέλαος Ἀλέξανδρον θεοειδέα
so rejoiced Menelaus Alexander godlike
ὀφθαλμοῖσιν ἰδών· φάτο γὰρ τείσεσθαι ἀλείτην·
with-eyes seeing he-thought for to-punish the-sinner
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε.
at-once and from the-chariot with arms leapt to-the-ground
Τὸν δ' ὡς οὖν ἐνόησεν Ἀλέξανδρος θεοειδὴς
Him and when then noticed Alexander godlike
ἐν προμάχοισι φανέντα, κατεπλήγη φίλον ἦτορ,
among the-champions appearing was-struck dear heart
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
back and of-comrades into the-tribe he-withdrew doom avoiding
ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη
as and when someone — a-serpent seeing backward stood-away
οὔρεος ἐν βήσσῃς, ὑπό τε τρόμος ἔλλαβε γυῖα,
of-a-mountain in the-glens under and trembling seized limbs
ἂψ δ' ἀνεχώρησεν, ὠχρός τέ μιν εἶλε παρειάς,
back and he-retreated pallor and him seized cheeks
ὣς αὖτις καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων
so again into the-throng he-plunged of-the-Trojans lordly
δείσας Ἀτρέος υἱὸν Ἀλέξανδρος θεοειδής.
fearing of-Atreus the-son Alexander godlike

Hector rebukes his brother as a handsome seducer who brought a bane on his father and city and would not face Menelaus. Paris accepts the rebuke and offers to fight Menelaus alone for Helen and her possessions, the rest to swear friendship. Agamemnon stops his men from shooting at Hector, who announces the terms to both armies. Menelaus accepts and asks for lambs and for Priam to swear the oaths himself. Both armies gladly lay down their arms, and heralds go for Priam and the lambs.

Τὸν δ' Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέεσσιν·
Him and Hector rebuked seeing with-shameful words
"Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά,
Evil-Paris in-form best woman-mad seducer
αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι·
if-only you-ought unborn both to-be unwed and to-have-perished
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν
and — this I-would-wish and — much more-profitable it-were
ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων.
than thus a-disgrace both to-be and looked-askance-at by-others
ἦ που καγχαλόωσι κάρη κομόωντες Ἀχαιοί,
truly surely they-guffaw on-head long-haired Achaeans
φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν
thinking a-chief champion to-be because fair
εἶδος ἔπ', ἀλλ' οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή.
form is-on(-him) but not there-is strength in-heart nor any courage
ἦ τοιόσδε ἐὼν ἐν ποντοπόροισι νέεσσι
truly such being in seafaring ships
πόντον ἐπιπλώσας, ἑτάρους ἐρίηρας ἀγείρας,
the-deep having-sailed-over comrades trusty having-gathered

μιχθεὶς ἀλλοδαποῖσι γυναῖκ᾽ εὐειδέ᾽ ἀνῆγες
mingling with-foreigners a-woman fair you-brought-up
ἐξ ἀπίης γαίης, νυὸν ἀνδρῶν αἰχμητάων,
from distant land daughter-in-law of-men spearmen
πατρί τε σῷ μέγα πῆμα πόληί τε παντί τε δήμῳ,
for-father both your a-great bane for-the-city and all and for-the-people
δυσμενέσιν μὲν χάρμα, κατηφείην δὲ σοὶ αὐτῷ;
for-the-foes indeed a-joy shame and to-you yourself
οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον Μενέλαον;
not — indeed would-you-await dear-to-Ares Menelaus
γνοίης χ᾽ οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν·
you-would-know — of-what-a man you-hold the-blooming wife
οὐκ ἄν τοι χραίσμῃ κίθαρις τά τε δῶρ᾽ Ἀφροδίτης,
not — you would-avail the-lyre the both gifts of-Aphrodite
ἥ τε κόμη τό τε εἶδος, ὅτ᾽ ἐν κονίῃσι μιγείης.
the and hair the and form when in dust you-should-mingle
ἀλλὰ μάλα Τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
but very the-Trojans timid truly — — already
λάϊνον ἕσσο χιτῶνα κακῶν ἕνεχ᾽ ὅσσα ἔοργας.”
of-stone you-would-have-put-on a-tunic of-evils for-the-sake as-many-as you-have-done

Τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Him and in-turn addressed Alexander godlike
“ Ἕκτορ, ἐπεί με κατ᾽ αἶσαν ἐνείκεσας οὐδ᾽ ὑπὲρ αἶσαν, —
Hector since me according-to due you-rebuked nor beyond due
αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής,
always to-you the-heart an-axe like is untiring
ὅς τ᾽ εἶσιν διὰ δουρὸς ὑπ᾽ ἀνέρος, ὅς ῥά τε τέχνῃ
which — goes through a-beam under a-man who then — with-skill
νήϊον ἐκτάμνῃσιν, ὀφέλλει δ᾽ ἀνδρὸς ἐρωήν·
a-ship-timber cuts it-increases and of-the-man the-force

ὣς σοὶ ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστί· —
so to-you in breast fearless the-mind is
μή μοι δῶρ᾽ ἐρατὰ πρόφερε χρυσέης Ἀφροδίτης·
not to-me the-gifts lovely bring-forth of-golden Aphrodite
οὔ τοι ἀπόβλητ᾽ ἐστὶ θεῶν ἐρικυδέα δῶρα,
not you-know to-be-cast-away are of-the-gods glorious gifts
ὅσσα κεν αὐτοὶ δῶσιν, ἑκὼν δ᾽ οὐκ ἄν τις ἕλοιτο·
as-many-as — themselves give willingly and not — anyone could-take
νῦν αὖτ᾽ εἴ μ᾽ ἐθέλεις πολεμίζειν ἠδὲ μάχεσθαι,
now in-turn if me you-wish to-war and to-fight
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς,
the-others indeed seat Trojans and all Achaeans
αὐτὰρ ἔμ᾽ ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον
but me in middle and dear-to-Ares Menelaus
συμβάλετ᾽ ἀμφ᾽ Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι·
set-together around Helen and possessions all to-fight
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται,
whichever and — shall-win stronger and prove
κτήμαθ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε οἶκαδ᾽ ἀγέσθω·
the-possessions taking well all the-woman and home let-him-lead
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
you and others friendship and oaths faithful having-cut
ναίοιτε Τροίην ἐριβώλακα, τοὶ δὲ νεέσθων
may-you-dwell-in Troy deep-soiled they and let-them-return
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιΐδα καλλιγύναικα."
Argos to horse-pasturing and Achaea of-fair-women
Ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ αὖτε χάρη μέγα μῦθον ἀκούσας,
So he-spoke Hector and in-turn rejoiced greatly the-word hearing
καί ῥ᾽ ἐς μέσσον ἰὼν Τρώων ἀνέεργε φάλαγγας,
and then into the-middle going of-the-Trojans held-back the-ranks

μέσσου δουρὸς ἑλών· τοὶ δ' ἱδρύνθησαν ἅπαντες.
middle of-the-spear having-grasped they and were-seated all
τῷ δ' ἐπετοξάζοντο κάρη κομόωντες Ἀχαιοὶ
at-him and aimed-arrows on-head long-haired Achaeans
ἰοῖσίν τε τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον·
with-arrows both aiming with-stones and they-were-throwing
αὐτὰρ ὁ μακρὸν ἄϋσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
but he loudly shouted lord of-men Agamemnon
"ἴσχεσθ', Ἀργεῖοι, μὴ βάλλετε, κοῦροι Ἀχαιῶν·
hold-back Argives not throw youths of-the-Achaeans
στεῦται γάρ τι ἔπος ἐρέειν κορυθαίολος Ἕκτωρ."
undertakes for some word to-speak helmet-flashing Hector
Ὣς ἔφαθ', οἱ δ' ἔσχοντο μάχης ἄνεώ τ' ἐγένοντο
So he-spoke they and refrained from-battle silent and became
ἐσσυμένως· Ἕκτωρ δὲ μετ' ἀμφοτέροισιν ἔειπε·
eagerly Hector and among both spoke
"κέκλυτέ μευ, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί,
hear me Trojans and well-greaved Achaeans
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν.
the-word of-Alexander of-whom for-the-sake the-strife has-arisen
ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
the-others indeed he-bids Trojans and all Achaeans
τεύχεα κάλ' ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ,
arms fair to-lay-down on earth much-nourishing
αὐτὸν δ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον
himself and in middle and dear-to-Ares Menelaus
οἷους ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.
alone around Helen and possessions all to-fight
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται,
whichever and — shall-win stronger and prove

κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἶκαδ' ἀγέσθω·
the-possessions taking well all the-woman and home let-him-lead
οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ τάμωμεν."
we and others friendship and oaths faithful let-us-cut
95 Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
So he-spoke they and then all silent became in-silence
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Μενέλαος·
among-them and also spoke at-the-war-cry good Menelaus
"κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει
hear now also me most for grief reaches
θυμὸν ἐμόν, φρονέω δὲ διακρινθήμεναι ἤδη
heart my I-think and to-be-parted now
Ἀργείους καὶ Τρῶας, ἐπεὶ κακὰ πολλὰ πέπασθε
Argives and Trojans since evils many you-have-suffered
100 εἵνεκ' ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ' ἀρχῆς·
for-the-sake-of my strife and of-Alexander for-the-sake-of beginning
ἡμέων δ' ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται,
of-us and to-whichever death and fate has-been-made
τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιστα.
let-him-die the-others and be-parted most-quickly
οἴσετε ἄρν', ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν,
bring two-lambs one white the-other and black
Γῇ τε καὶ Ἠελίῳ· Διὶ δ' ἡμεῖς οἴσομεν ἄλλον·
to-Earth both and to-Sun to-Zeus and we will-bring another
105 ἄξετε δὲ Πριάμοιο βίην, ὅφρ' ὅρκια τάμνῃ
lead and of-Priam the-might so-that oaths he-may-cut
αὐτός, ἐπεί οἱ παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι,
himself since his sons overbearing and faithless
μή τις ὑπερβασίῃ Διὸς ὅρκια δηλήσηται.
lest any by-transgression of-Zeus the-oaths should-violate

αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται·
ever and of-younger men the-minds flutter
οἷς δ' ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω
among-whom and the old-man joins together forward and backward
λεύσσει, ὅπως ὄχ' ἄριστα μετ' ἀμφοτέροισι γένηται."
he-looks how by-far best for both it-may-be
Ὣς ἔφαθ', οἱ δ' ἐχάρησαν Ἀχαιοί τε Τρῶές τε
So he-spoke they and rejoiced Achaeans both Trojans and
ἐλπόμενοι παύσασθαι ὀϊζυροῦ πολέμοιο.
hoping to-cease from-woeful war
καί ῥ' ἵππους μὲν ἔρυξαν ἐπὶ στίχας, ἐκ δ' ἔβαν αὐτοί,
and then horses indeed they-held-back on the-ranks out and stepped themselves
τεύχεά τ' ἐξεδύοντο· τὰ μὲν κατέθεντ' ἐπὶ γαίῃ
arms and they-took-off these indeed they-laid-down on the-ground
πλησίον ἀλλήλων, ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα·
near each-other little and was between land
Ἕκτωρ δὲ προτὶ ἄστυ δύω κήρυκας ἔπεμπε
Hector and toward the-town two heralds sent
καρπαλίμως ἄρνας τε φέρειν Πρίαμόν τε καλέσσαι·
swiftly the-lambs both to-bring Priam and to-summon
αὐτὰρ ὁ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
but he Talthybius sent-forth lord Agamemnon
νῆας ἔπι γλαφυρὰς ἰέναι, ἠδ' ἄρνε κέλευεν
the-ships to hollow to-go and a-lamb he-bade
οἰσέμεναι· ὁ δ' ἄρ' οὐκ ἀπίθησ' Ἀγαμέμνονι δίῳ.
to-bring he and then not disobeyed Agamemnon noble

Iris, as Laodice, finds Helen weaving the battles fought over her and tells her of the duel. Helen goes to the Scaean gates, longing for her former husband. The old men on the tower say the war is no cause for blame, yet she should sail home. Priam seats her beside him, blames the gods, and asks who the tall Achaean is. Helen wishes she had died before following Paris, and names Agamemnon. Priam calls him blessed: not even the Phrygians who met the Amazons were so many.

Ἶρις δ' αὖθ' Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν,
Iris and then to-Helen white-armed as-messenger came
εἰδομένη γαλόῳ, Ἀντηνορίδαο δάμαρτι,
likened to-her-sister-in-law of-the-son-of-Antenor the-wife
τὴν Ἀντηνορίδης εἶχε κρείων Ἑλικάων,
whom the-son-of-Antenor had lord Helicaon
Λαοδίκην, Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην.
Laodice of-Priam of-daughters in-form best
τὴν δ' εὗρ' ἐν μεγάρῳ· ἡ δὲ μέγαν ἱστὸν ὕφαινε,
her and she-found in the-hall she and a-great web was-weaving
δίπλακα πορφυρέην, πολέας δ' ἐνέπασσεν ἀέθλους
double purple many and she-wove-in contests
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
of-Trojans both horse-taming and of-Achaeans bronze-coated
οὓς ἕθεν εἵνεκ' ἔπασχον ὑπ' Ἄρηος παλαμάων·
which for-her for-the-sake they-were-suffering under of-Ares the-hands
ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
near and standing addressed in-feet swift Iris
"δεῦρ' ἴθι, νύμφα φίλη, ἵνα θέσκελα ἔργα ἴδηαι
hither come bride dear so-that wondrous deeds you-may-see
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων·
of-Trojans both horse-taming and of-Achaeans bronze-coated

οἳ πρὶν ἐπ᾽ ἀλλήλοισι φέρον πολύδακρυν Ἄρηα
who before against each-other were-bringing tearful Ares
ἐν πεδίῳ, ὀλοοῖο λιλαιόμενοι πολέμοιο·
in the-plain for-deadly longing war
οἱ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται,
they indeed now sit in-silence the-war and has-ceased
ἀσπίσι κεκλιμένοι, παρὰ δ᾽ ἔγχεα μακρὰ πέπηγεν.
on-shields leaning beside and spears long are-fixed
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηΐφιλος Μενέλαος
but Alexander and dear-to-Ares Menelaus
μακρῇς ἐγχείῃσι μαχήσονται περὶ σεῖο·
with-long spears will-fight for you
τῷ δέ κε νικήσαντι φίλη κεκλήσῃ ἄκοιτις.”
to-him and — having-won dear you-will-be-called wife
Ὣς εἰποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ
So having-spoken the-goddess sweet longing cast-into heart
ἀνδρός τε προτέρου καὶ ἄστεος ἠδὲ τοκήων·
for-husband both former and town and parents
αὐτίκα δ᾽ ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν
at-once and in-white having-veiled-herself linen
ὁρμᾶτ᾽ ἐκ θαλάμοιο τέρεν κατὰ δάκρυ χέουσα,
she-hastened from the-chamber tender down tear shedding
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ᾽ ἕποντο,
not alone with her indeed also handmaids two followed
Αἴθρη, Πιτθῆος θυγάτηρ, Κλυμένη τε βοῶπις·
Aethra of-Pittheus daughter Clymene and ox-eyed
αἶψα δ᾽ ἔπειθ᾽ ἵκανον ὅθι Σκαιαὶ πύλαι ἦσαν.
quickly and then they-reached where the-Scaean gates were

Οἱ δ' ἀμφὶ Πρίαμον καὶ Πάνθοον ἠδὲ Θυμοίτην
They and about Priam and Panthous and Thymoetes
Λάμπον τε Κλυτίον θ' Ἱκετάονά τ', ὄζον Ἄρηος,
Lampus both Clytius and Hicetaon and scion of-Ares
Οὐκαλέγων τε καὶ Ἀντήνωρ, πεπυμένω ἄμφω,
Ucalegon both and Antenor prudent both
ἥατο δημογέροντες ἐπὶ Σκαιῇσι πύλῃσι,
sat elders-of-the-people at the-Scaean gates
γήραϊ δὴ πολέμοιο πεπαυμένοι, ἀλλ' ἀγορηταὶ
through-age indeed from-war having-ceased but speakers
ἐσθλοί, τεττίγεσσιν ἐοικότες, οἵ τε καθ' ὕλην
noble to-cicadas like which — in the-forest
δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι·
on-a-tree sitting voice lily-like send-forth
τοῖοι ἄρα Τρώων ἡγήτορες ἦντ' ἐπὶ πύργῳ.
such then of-the-Trojans the-leaders sat on the-tower
οἱ δ' ὡς οὖν εἶδον θ' Ἑλένην ἐπὶ πύργον ἰοῦσαν,
they and when then saw Helen to the-tower coming
ἦκα πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον·
softly to each-other words winged spoke
"οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς
no cause-for-blame that-the-Trojans and well-greaved Achaeans
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
for-such around a-woman long time pains to-suffer
αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν·
terribly to-immortal goddesses in face she-is-like
ἀλλὰ καὶ ὥς τοίη περ ἐοῦσ' ἐν νηυσὶ νεέσθω,
but even so such though being in ships let-her-go
μηδ' ἡμῖν τεκέεσσί τ' ὀπίσσω πῆμα λίποιτο."
nor for-us for-children and hereafter a-bane let-her-be-left

Ὣς ἄρ᾽ ἔφαν, Πρίαμος δ᾽ Ἑλένην ἐκαλέσσατο φωνῇ·
So then they-spoke Priam and Helen called with-voice
"δεῦρο πάροιθ᾽ ἐλθοῦσα, φίλον τέκος, ἵζευ ἐμεῖο,
hither before having-come dear child sit me
ὄφρα ἴδῃ πρότερόν τε πόσιν πηούς τε φίλους τε —
so-that you-may-see former both husband kinsmen and dear and
οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν,
not at-all to-me to-blame you-are the-gods now to-me to-blame are
οἵ μοι ἐφώρμησαν πόλεμον πολύδακρυν Ἀχαιῶν —
who on-me set-in-motion war tearful of-the-Achaeans
ὥς μοι καὶ τόνδ᾽ ἄνδρα πελώριον ἐξονομήνῃς,
that to-me also this man huge you-may-name
ὅς τις ὅδ᾽ ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε.
who any this is Achaean man noble both tall and
ἤτοι μὲν κεφαλῇ καὶ μείζονες ἄλλοι ἔασι,
truly indeed in-head even taller others are
καλὸν δ᾽ οὔτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖσιν,
fair and thus I not yet saw with-eyes
οὐδ᾽ οὕτω γεραρόν· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικε."
nor so majestic to-a-king for to-a-man he-is-like
Τὸν δ᾽ Ἑλένη μύθοισιν ἀμείβετο, δῖα γυναικῶν·
Him and Helen with-words answered bright of-women
"αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε·
revered both to-me you-are dear father-in-law dread and
ὡς ὄφελεν θάνατός μοι ἀδεῖν κακὸς ὁππότε δεῦρο
would-that ought death to-me to-have-pleased evil when hither
υἱέϊ σῷ ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
son your I-followed chamber kinsmen and leaving
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
child and late-born and companionship lovely

ἀλλὰ τά γ᾽ οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.
but these-things indeed not came-to-be therefore also weeping I-pine
τοῦτο δέ τοι ἐρέω, ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς·
this and to-you I-will-tell which me you-ask and inquire
οὗτός γ᾽ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων,
this indeed the-son-of-Atreus wide ruling Agamemnon
ἀμφότερον βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής·
both king both good mighty and spearman
δαὴρ αὖτ᾽ ἐμὸς ἔσκε κυνώπιδος, εἴ ποτ᾽ ἔην γε.᾽᾽
brother-in-law in-turn my he-was of-dog-faced(-me) if ever he-was indeed
Ὣς φάτο, τὸν δ᾽ ὁ γέρων ἠγάσσατο φώνησέν τε·
So she-spoke him and the old-man admired spoke and
᾽᾽ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενές, ὀλβιόδαιμον,
O blessed son-of-Atreus child-of-destiny favored-by-fortune
ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν.
truly then now to-you many were-subdued youths of-the-Achaeans
ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν,
already also Phrygia I-entered vine-rich
ἔνθα ἴδον πλείστους Φρύγας ἀνέρας αἰολοπώλους,
there I-saw very-many Phrygians men with-swift-horses
λαοὺς Ὀτρῆος καὶ Μυγδόνος ἀντιθέοιο,
the-people of-Otreus and of-Mygdon godlike
οἵ ῥα τότ᾽ ἐστρατόωντο παρ᾽ ὄχθας Σαγγαρίοιο·
who then then were-encamped beside the-banks of-Sangarius
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέχθην
also for I ally being among them was-counted
ἤματι τῷ ὅτε τ᾽ ἦλθον Ἀμαζόνες ἀντιάνειραι·
on-day that when — came the-Amazons a-match-for-men
ἀλλ᾽ οὐδ᾽ οἱ τόσοι ἦσαν ὅσοι ἑλίκωπες Ἀχαιοί.᾽᾽
but not-even they so-many were as-many-as the-bright-eyed Achaeans

Priam asks about a shorter, broader man ranging the ranks like a ram, and Helen names Odysseus. Antenor recalls how Odysseus came to Troy with Menelaus on an embassy: Menelaus spoke few clear words, while Odysseus stood with his eyes on the ground like a fool until his words came like winter snowflakes. Helen names Ajax and Idomeneus, and wonders why she cannot see her brothers Castor and Polydeuces; they lie already in the earth of Lacedaemon.

Δεύτερον αὖτ' Ὀδυσῆα ἰδὼν ἐρέειν' ὁ γεραιός·
Second in-turn Odysseus seeing asked the old-man
"εἶπ' ἄγε μοι καὶ τόνδε, φίλον τέκος, ὅς τις ὅδ' ἐστί·
tell come to-me also this dear child who any this is
μείων μὲν κεφαλῇ Ἀγαμέμνονος Ἀτρεΐδαο,
shorter indeed in-head than-Agamemnon the-son-of-Atreus
εὐρύτερος δ' ὤμοισιν ἰδὲ στέρνοισιν ἰδέσθαι.
broader and in-shoulders and in-chest to-see
τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονὶ πουλυβοτείρῃ,
arms indeed his lie on earth much-nourishing
αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν·
himself and a-ram like ranges-over the-ranks of-men
ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ,
to-a-ram him I-indeed liken thick-fleeced
ὅς τ' οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων."
which — of-sheep a-great flock passes-through white
Τὸν δ' ἠμείβετ' ἔπειθ' Ἑλένη Διὸς ἐκγεγαυῖα·
Him and answered then Helen of-Zeus born
"οὗτος δ' αὖ Λαερτιάδης πολύμητις Ὀδυσσεύς,
this and in-turn the-son-of-Laertes of-many-wiles Odysseus

ὃς τράφη ἐν δήμῳ Ἰθάκης κραναῆς περ ἐούσης
who was-reared in the-land of-Ithaca rugged though being
εἰδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά."
knowing of-all-kinds both tricks and plans shrewd
Τὴν δ' αὖτ' Ἀντήνωρ πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Antenor prudent in-reply spoke
"ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος νημερτὲς ἔειπες·
O lady truly very this word unerring you-spoke
ἤδη γὰρ καὶ δεῦρό ποτ' ἦλυθε δῖος Ὀδυσσεὺς
already for also hither once came noble Odysseus
σεῦ ἕνεκ' ἀγγελίης σὺν ἀρηϊφίλῳ Μενελάῳ·
you for-the-sake-of on-an-embassy with dear-to-Ares Menelaus
τοὺς δ' ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα,
them and I entertained and in halls welcomed
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά.
of-both and the-build I-learned and plans shrewd
ἀλλ' ὅτε δὴ Τρώεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,
but when indeed the-Trojans in assembled they-mingled
στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους,
standing indeed Menelaus overtopped(-him) in-broad shoulders
ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς·
both and seated more-majestic was Odysseus
ἀλλ' ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον,
but when indeed words and plans before-all they-wove
ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε,
truly indeed Menelaus fluently spoke
παῦρα μέν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος
few-words indeed but very clearly since not wordy
οὐδ' ἀφαμαρτοεπής· ἦ καὶ γένει ὕστερος ἦεν.
nor erring-in-speech truly even in-birth younger he-was

ἀλλ᾽ ὅτε δὴ πολύμητις ἀναΐξειεν Ὀδυσσεύς,
but when indeed of-many-wiles sprang-up Odysseus
στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας,
he-would-stand under and he-would-look down at-the-ground eyes having-fixed
σκῆπτρον δ᾽ οὔτ᾽ ὀπίσω οὔτε προπρηνὲς ἐνώμα,
the-staff and neither backward nor forward he-moved
ἀλλ᾽ ἀστεμφὲς ἔχεσκεν, ἀΐδρεϊ φωτὶ ἐοικώς·
but unmoving he-held(-it) to-an-ignorant man like
φαίης κε ζάκοτόν τέ τιν᾽ ἔμμεναι ἄφρονά τ᾽ αὔτως. 220
you-would-say — sullen both someone to-be senseless and merely
ἀλλ᾽ ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος εἵη
but when indeed voice both great from chest he-sent
καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν,
and words to-snowflakes like wintry
οὐκ ἂν ἔπειτ᾽ Ὀδυσῆϊ γ᾽ ἐρίσσειε βροτὸς ἄλλος·
not — then with-Odysseus indeed could-vie mortal other
οὐ τότε γ᾽ ὧδ᾽ Ὀδυσῆος ἀγασσάμεθ᾽ εἶδος ἰδόντες.”
not then indeed so of-Odysseus we-marveled-at the-form seeing
Τὸ τρίτον αὖτ᾽ Αἴαντα ἰδὼν ἐρέειν᾽ ὁ γεραιός· 225
The third in-turn Ajax seeing asked the old-man
“τίς τ᾽ ἄρ᾽ ὅδ᾽ ἄλλος Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε,
who and then this other Achaean man noble both tall and
ἔξοχος Ἀργείων κεφαλήν τε καὶ εὐρέας ὤμους;”
outstanding among-the-Argives in-head both and broad shoulders
Τὸν δ᾽ Ἑλένη τανύπεπλος ἀμείβετο, δῖα γυναικῶν·
Him and Helen long-robed answered bright of-women
“οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος, ἕρκος Ἀχαιῶν·
this and Ajax is huge bulwark of-the-Achaeans

Ἰδομενεὺς δ' ἑτέρωθεν ἐνὶ Κρήτεσσι θεὸς ὡς
Idomeneus and on-the-other-side among Cretans a-god like
ἕστηκ', ἀμφὶ δέ μιν Κρητῶν ἀγοὶ ἠγερέθονται.
stands around and him of-the-Cretans the-leaders are-gathered
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος Μενέλαος
often him entertained dear-to-Ares Menelaus
οἴκῳ ἐν ἡμετέρῳ, ὁπότε Κρήτηθεν ἵκοιτο.
house in our whenever from-Crete he-came
νῦν δ' ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιούς,
now and the-others indeed all I-see bright-eyed Achaeans
οὕς κεν ἐΰ γνοίην καί τ' οὔνομα μυθησαίμην·
whom — well I-could-recognize and — the-name could-tell
δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
two and not I-am-able to-see marshals of-the-people
Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
Castor and horse-taming and with-the-fist good Polydeuces
αὐτοκασιγνήτω, τώ μοι μία γείνατο μήτηρ.
own-brothers whom to-me one bore mother
ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς,
either not they-followed Lacedaemon out-of lovely
ἢ δεύρω μὲν ἕποντο νέεσσ' ἔνι ποντοπόροισι,
or hither indeed they-followed ships in seafaring
νῦν αὖτ' οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν,
now in-turn not they-are-willing the-battle to-enter of-men
αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ' ἅ μοί ἐστιν."
the-shames fearing and reproaches many which to-me are
Ὣς φάτο, τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα
So she-spoke them and already held life-giving earth
ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ.
in Lacedaemon there dear in native land

Idaeus summons Priam, who drives out with Antenor. Agamemnon cuts the lambs' hair and prays to Zeus, the Sun, the rivers, and the earth. If Paris kills Menelaus, he swears, the Achaeans will sail home; if Menelaus wins, the Trojans will return Helen and pay a penalty. Both armies pray that oath-breakers' brains may flow like the wine, but Zeus does not grant it. Priam returns to the city rather than watch. Paris' lot leaps out first, and both men arm.

Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια πιστά,
Heralds and through the-town of-the-gods were-carrying the-oaths faithful
ἄρνε δύω καὶ οἶνον ἐΰφρονα, καρπὸν ἀρούρης,
lambs two and wine heart-cheering the-fruit of-the-field
ἀσκῷ ἐν αἰγείῳ· φέρε δὲ κρητῆρα φαεινὸν
a-skin in goat's carried and a-bowl shining
κῆρυξ Ἰδαῖος ἠδὲ χρύσεια κύπελλα·
the-herald Idaeus and golden cups
ὄτρυνεν δὲ γέροντα παριστάμενος ἐπέεσσιν·
he-urged and the-old-man standing-beside with-words
"ὄρσεο, Λαομεδοντιάδη, καλέουσιν ἄριστοι
rise son-of-Laomedon call(-you) the-best
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων
of-Trojans both horse-taming and of-Achaeans bronze-coated
ἐς πεδίον καταβῆναι, ἵν' ὅρκια πιστὰ τάμητε·
into the-plain to-come-down so-that oaths faithful you-may-cut
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηΐφιλος Μενέλαος
but Alexander and dear-to-Ares Menelaus
μακρῇς ἐγχείῃσι μαχήσοντ' ἀμφὶ γυναικί·
with-long spears will-fight about the-woman
τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήματ' ἔποιτο·
to-him and — having-won the-woman and the-possessions may-follow

οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
we and others friendship and oaths faithful having-cut
ναίοιμεν Τροίην ἐριβώλακα, τοὶ δὲ νέονται
may-dwell-in Troy deep-soiled they and return
Ἄργος ἐς ἱππόβοτον καὶ Ἀχαιΐδα καλλιγύναικα."
Argos to horse-pasturing and Achaea of-fair-women
Ὣς φάτο, ῥίγησεν δ' ὁ γέρων, ἐκέλευσε δ' ἑταίρους
So he-spoke shuddered and the old-man bade and comrades
ἵππους ζευγνύμεναι· τοὶ δ' ὀτραλέως ἐπίθοντο.
the-horses to-yoke they and quickly obeyed
ἂν δ' ἄρ' ἔβη Πρίαμος, κατὰ δ' ἡνία τεῖνεν ὀπίσσω·
up and then went Priam down and the-reins drew backward
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσετο δίφρον·
beside and him Antenor very-fair mounted chariot
τὼ δὲ διὰ Σκαιῶν πεδίονδ' ἔχον ὠκέας ἵππους.
the-two and through the-Scaean to-the-plain held swift horses
Ἀλλ' ὅτε δή ῥ' ἵκοντο μετὰ Τρῶας καὶ Ἀχαιούς,
But when indeed then they-came among the-Trojans and Achaeans
ἐξ ἵππων ἀποβάντες ἐπὶ χθόνα πουλυβότειραν
from the-horses having-stepped-down onto earth much-nourishing
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο.
into the-middle of-the-Trojans and of-the-Achaeans they-marched-in-line
ὄρνυτο δ' αὐτίκ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
rose and at-once then lord of-men Agamemnon
ἂν δ' Ὀδυσεὺς πολύμητις· ἀτὰρ κήρυκες ἀγαυοὶ
up and Odysseus of-many-wiles but the-heralds lordly
ὅρκια πιστὰ θεῶν σύναγον, κρητῆρι δὲ οἶνον
the-oaths faithful of-the-gods brought-together in-the-bowl and wine
μίσγον, ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.
mixed but for-the-kings water on hands poured

Ἀτρεΐδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
the-son-of-Atreus and having-drawn with-hands the-knife
ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
which for-him beside the-sword great the-scabbard always hung
ἀρνῶν ἐκ κεφαλέων τάμνε τρίχας· αὐτὰρ ἔπειτα
of-the-lambs from heads cut hairs but then
κήρυκες Τρώων καὶ Ἀχαιῶν νεῖμαν ἀρίστοις.
the-heralds of-the-Trojans and of-the-Achaeans distributed to-the-best
τοῖσιν δ' Ἀτρεΐδης μεγάλ' εὔχετο χεῖρας ἀνασχών·
among-them and the-son-of-Atreus loudly prayed hands holding-up
"Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
Zeus father from-Ida ruling most-glorious greatest
Ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις,
Sun and who all oversee and all hear
καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ ὑπένερθε καμόντας
and rivers and earth and who beneath the-dead
ἀνθρώπους τίνυσθον, ὅτις κ' ἐπίορκον ὀμόσσῃ,
men punish whoever — false-oath swears
ὑμεῖς μάρτυροι ἔστε, φυλάσσετε δ' ὅρκια πιστά·
you witnesses be guard and the-oaths faithful
εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ,
if indeed — Menelaus Alexander kills
αὐτὸς ἔπειθ' Ἑλένην ἐχέτω καὶ κτήματα πάντα,
himself then Helen let-him-have and the-possessions all
ἡμεῖς δ' ἐν νήεσσι νεώμεθα ποντοπόροισιν·
we and in ships let-us-return seafaring
εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ ξανθὸς Μενέλαος,
if and — Alexander kills fair-haired Menelaus
Τρῶας ἔπειθ' Ἑλένην καὶ κτήματα πάντ' ἀποδοῦναι,
the-Trojans then Helen and the-possessions all to-give-back

τιμὴν δ᾽ Ἀργείοις ἀποτινέμεν ἥν τιν᾽ ἔοικεν,
a-penalty and to-the-Argives to-pay which any is-fitting
ἥ τε καὶ ἐσσομένοισι μετ᾽ ἀνθρώποισι πέληται.
which — also to-come among men shall-be
εἰ δ᾽ ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες
if and — to-me the-penalty Priam of-Priam and the-sons
τίνειν οὐκ ἐθέλωσιν Ἀλεξάνδροιο πεσόντος,
to-pay not are-willing Alexander fallen
αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήσομαι εἵνεκα ποινῆς
but I even then will-fight for-the-sake-of the-penalty
αὖθι μένων, ἦός κε τέλος πολέμοιο κιχείω."
there remaining until — the-end of-the-war I-reach
Ἦ, καὶ ἀπὸ στομάχους ἀρνῶν τάμε νηλέϊ χαλκῷ·
He-spoke and from the-throats of-the-lambs cut with-pitiless bronze
καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας,
and them indeed laid-down on the-ground gasping
θυμοῦ δευομένους· ἀπὸ γὰρ μένος εἵλετο χαλκός.
of-breath lacking from for the-strength took bronze
οἶνον δ᾽ ἐκ κρητῆρος ἀφυσσόμενοι δεπάεσσιν
wine and from the-bowl drawing in-cups
ἔκχεον, ἠδ᾽ εὔχοντο θεοῖς αἰειγενέτῃσιν.
they-poured-out and prayed to-the-gods ever-living
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε·
thus and someone would-say of-the-Achaeans both of-the-Trojans and
"Ζεῦ κύδιστε μέγιστε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Zeus most-glorious greatest and immortal gods other
ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν,
whichever first against the-oaths should-do-harm

ὣδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος,
so their brains on-the-ground may-flow as this wine
αὐτῶν καὶ τεκέων, ἄλοχοι δ' ἄλλοισι δαμεῖεν."
of-themselves and of-the-children the-wives and to-others be-subdued
Ὣς ἔφαν, οὐδ' ἄρα πώ σφιν ἐπεκραίαινε Κρονίων.
So they-spoke nor then yet to-them did-fulfill(-it) the-son-of-Cronus
τοῖσι δὲ Δαρδανίδης Πρίαμος μετὰ μῦθον ἔειπε·
among-them and the-Dardanian Priam among word spoke
"κέκλυτέ μευ, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί·
hear me Trojans and well-greaved Achaeans
ἤτοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν
truly I go to Ilium windy
ἄψ, ἐπεὶ οὔ πω τλήσομ' ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι
back since not yet will-I-bear with eyes to-see
μαρνάμενον φίλον υἱὸν ἀρηϊφίλῳ Μενελάῳ·
fighting dear son with-dear-to-Ares Menelaus
Ζεὺς μέν που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Zeus indeed surely this indeed knows and immortal gods other
ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν."
for-which-of-the-two of-death the-end fated is
Ἦ ῥα, καὶ ἐς δίφρον ἄρνας θέτο ἰσόθεος φώς,
He-spoke then and into the-chariot the-lambs put godlike man
ἂν δ' ἄρ' ἔβαιν' αὐτός, κατὰ δ' ἡνία τεῖνεν ὀπίσσω·
up and then he-went himself down and the-reins drew backward
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσετο δίφρον.
beside and him Antenor very-fair mounted chariot
τὼ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο·
the-two indeed then back to Ilium returned

Ἕκτωρ δὲ Πριάμοιο πάϊς καὶ δῖος Ὀδυσσεὺς
Hector and of-Priam son and noble Odysseus
χῶρον μὲν πρῶτον διεμέτρεον, αὐτὰρ ἔπειτα
the-ground indeed first measured but then
κλήρους ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἐλόντες,
lots in helmet bronze-fitted shook having-taken(-them)
ὁππότερος δὴ πρόσθεν ἀφείη χάλκεον ἔγχος.
which-of-the-two indeed first should-throw the-bronze spear
λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον,
the-people and prayed to-the-gods and hands held-up
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε·
thus and someone would-say of-the-Achaeans both of-the-Trojans and
"Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
Zeus father from-Ida ruling most-glorious greatest
ὁππότερος τάδε ἔργα μετ' ἀμφοτέροισιν ἔθηκε,
whichever these deeds between both put
τὸν δὸς ἀποφθίμενον δῦναι δόμον Ἄϊδος εἴσω,
him grant having-perished to-enter the-house of-Hades within
ἡμῖν δ' αὖ φιλότητα καὶ ὅρκια πιστὰ γενέσθαι."
to-us and in-turn friendship and oaths faithful to-be
Ὣς ἄρ' ἔφαν, πάλλεν δὲ μέγας κορυθαίολος Ἕκτωρ
So then they-spoke shook and great helmet-flashing Hector
ἂψ ὀρόων· Πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσεν.
backward looking of-Paris and swiftly out the-lot leapt
οἱ μὲν ἔπειθ' ἵζοντο κατὰ στίχας, ἧχι ἑκάστῳ
they indeed then sat-down by ranks where for-each
ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχεα κεῖτο·
horses high-stepping and inlaid arms lay

αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισιν ἐδύσετο τεύχεα καλὰ
but he indeed around shoulders put-on arms fair
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο.
noble Alexander of-Helen husband lovely-haired
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
greaves indeed first around shins he-put
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
fair with-silver ankle-pieces fitted
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν
second in-turn a-corselet around chest he-put-on
οἷο κασιγνήτοιο Λυκάονος· ἥρμοσε δ' αὐτῷ.
of-his-own brother Lycaon it-fitted and him
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
around and then shoulders he-threw sword silver-studded
χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
bronze but then a-shield great both sturdy and
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
head and on mighty helmet well-wrought he-put
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
horsehair-crested dread and the-crest from-above nodded
εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει.
he-took and a-valiant spear which to-him to-the-palm fitted
ὣς δ' αὖτως Μενέλαος ἀρήϊος ἔντε' ἔδυνεν.
so and likewise Menelaus warlike arms put-on

Paris throws first and his spear bends against Menelaus' shield. Menelaus prays to Zeus, and his spear passes through Paris' shield and corselet; Paris swerves from death. Menelaus' sword shatters on Paris' helmet, so he seizes him by the crest and drags him toward the Achaeans, choking him with the strap. Aphrodite breaks the strap, snatches Paris away in a mist, and sets him in his fragrant chamber. Then, as an old wool-carder, she calls Helen to come to him.

Οἱ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
They and when then on-either-side of-the-throng were-armed
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο
into the-middle of-the-Trojans and of-the-Achaeans they-marched-in-line
δεινὸν δερκόμενοι· θάμβος δ' ἔχεν εἰσορόωντας
terribly glaring amazement and held(-those) looking-on
Τρῶάς θ' ἱπποδάμους καὶ ἐϋκνήμιδας Ἀχαιούς.
Trojans both horse-taming and well-greaved Achaeans
καί ῥ' ἐγγὺς στήτην διαμετρητῷ ἐνὶ χώρῳ
and then near they-stood measured-out in ground
σείοντ' ἐγχείας ἀλλήλοισιν κοτέοντε.
brandishing spears at-each-other angry
πρόσθε δ' Ἀλέξανδρος προΐει δολιχόσκιον ἔγχος,
first and Alexander sent-forth long-shadowed spear
καὶ βάλεν Ἀτρεΐδαο κατ' ἀσπίδα πάντοσ' ἐΐσην,
and struck of-the-son-of-Atreus on shield on-every-side balanced
οὐδ' ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
nor broke-through bronze was-bent-back and its point
ἀσπίδ' ἐνὶ κρατερῇ· ὁ δὲ δεύτερον ὄρνυτο χαλκῷ
shield in strong he and second rose with-bronze
Ἀτρεΐδης Μενέλαος ἐπευξάμενος Διὶ πατρί·
the-son-of-Atreus Menelaus having-prayed to-Zeus father

“Ζεῦ ἄνα, δὸς τείσασθαι ὅ με πρότερος κάκ᾽ ἔοργε,
Zeus lord grant to-avenge(-myself) who me first evils has-done
δῖον Ἀλέξανδρον, καὶ ἐμῇς ὑπὸ χερσὶ δάμασσον,
noble Alexander and my under hands subdue(-him)
ὄφρα τις ἐρρίγῃσι καὶ ὀψιγόνων ἀνθρώπων
so-that any may-shudder even born-later men
ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ.”
to-a-host evils to-do who — friendship offers
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, 355
He-spoke then and having-poised sent-forth long-shadowed spear
καὶ βάλε Πριαμίδαο κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην·
and struck of-the-son-of-Priam on shield on-every-side balanced
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
through indeed the-shield went shining the-mighty spear
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
and through the-corselet very-intricate it-was-thrust
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
straight-on and beside the-flank it-cut-through the-tunic
ἔγχος· ὁ δ᾽ ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν. 360
the-spear he and swerved and escaped doom black
Ἀτρεΐδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
the-son-of-Atreus and having-drawn sword silver-studded
πλῆξεν ἀνασχόμενος κόρυθος φάλον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
struck raising(-it) of-the-helmet the-horn around and then it
τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.
in-three both and in-four shattered it-fell from-the-hand
Ἀτρεΐδης δ᾽ ὤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
the-son-of-Atreus and groaned looking into heaven broad
“Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος· 365
Zeus father not any than-you of-the-gods more-baneful other

ἦ τ᾽ ἐφάμην τείσασθαι Ἀλέξανδρον κακότητος·
truly — I-thought to-avenge(-myself) on-Alexander for-his-wickedness
νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος, ἐκ δέ μοι ἔγχος
now and to-me in hands was-broken the-sword out and to-me the-spear
ᾠΐχθη παλάμηφιν ἐτώσιον, οὐδ᾽ ἔβαλόν μιν.᾽᾽
was-darted from-the-palm in-vain nor did-I-strike him
Ἦ, καὶ ἐπαΐξας κόρυθος λάβεν ἱπποδασείης,
He-spoke and darting-at by-the-helmet seized horsehair-crested
ἕλκε δ᾽ ἐπιστρέψας μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς·
dragged and having-turned(-him) toward well-greaved Achaeans
ἄγχε δέ μιν πολύκεστος ἱμὰς ἁπαλὴν ὑπὸ δειρήν,
choked and him the-much-embroidered strap tender under neck
ὅς οἱ ὑπ᾽ ἀνθερεῶνος ὀχεὺς τέτατο τρυφαλείης.
which for-him under the-chin as-a-fastening was-stretched of-the-helmet
καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρατο κῦδος,
and now — he-would-have-dragged(-him) both and unspeakable won glory
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη,
if not then keenly noticed of-Zeus daughter Aphrodite
ἥ οἱ ῥῆξεν ἱμάντα βοὸς ἶφι κταμένοιο·
who for-him broke the-strap of-an-ox by-force slain
κεινὴ δὲ τρυφάλεια ἅμ᾽ ἕσπετο χειρὶ παχείῃ.
empty and the-helmet together followed with-the-hand stout
τὴν μὲν ἔπειθ᾽ ἥρως μετ᾽ ἐϋκνήμιδας Ἀχαιοὺς
it indeed then the-hero toward well-greaved Achaeans
ῥῖψ᾽ ἐπιδινήσας, κόμισαν δ᾽ ἑρίηρες ἑταῖροι·
hurled whirling(-it) carried-off(-it) and trusty comrades

αὐτὰρ ὁ ἂψ ἐπόρουσε κατακτάμεναι μενεαίνων
but he back sprang-on to-kill(-him) eager
ἔγχεϊ χαλκείῳ· τὸν δ' ἐξήρπαξ' Ἀφροδίτη
with-spear bronze him and snatched-away Aphrodite
ῥεῖα μάλ' ὥς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
easily very as — a-god covered(-him) and then in-mist much
κὰδ δ' εἶσ' ἐν θαλάμῳ εὐώδεϊ κηώεντι.
down and she-set(-him) in chamber fragrant incense-scented
αὐτὴ δ' αὖθ' Ἑλένην καλέουσ' ἴε· τὴν δὲ κίχανε
herself and in-turn Helen calling went her and she-found
πύργῳ ἐφ' ὑψηλῷ, περὶ δὲ Τρῳαὶ ἅλις ἦσαν·
tower on high around and Trojan-women in-throngs were
χειρὶ δὲ νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦσα,
with-hand and nectar-scented by-the-robe she-shook having-grasped(-it)
γρηῒ δέ μιν ἐϊκυῖα παλαιγενέϊ προσέειπεν
to-an-old-woman and her likened ancient addressed
εἰροκόμῳ, ἥ οἱ Λακεδαίμονι ναιεταώσῃ
a-wool-carder who for-her in-Lacedaemon dwelling
ἤσκειν εἴρια καλά, μάλιστα δέ μιν φιλέεσκε·
used-to-work wools fair most and her she-loved
τῇ μιν ἐεισαμένη προσεφώνεε δῖ' Ἀφροδίτη·
to-her her having-likened addressed noble Aphrodite
"δεῦρ' ἴθ'· Ἀλέξανδρός σε καλεῖ οἶκόνδε νέεσθαι.
hither come Alexander you calls homeward to-return
κεῖνος ὅ γ' ἐν θαλάμῳ καὶ δινωτοῖσι λέχεσσι,
that-one he indeed in the-chamber and inlaid bed

κάλλεΐ τε στίλβων καὶ εἵμασιν· οὐδέ κε φαίης
with-beauty both gleaming and with-garments nor — you-would-say
ἀνδρὶ μαχεσσάμενον τόν γ' ἐλθεῖν, ἀλλὰ χορόνδε
with-a-man having-fought him indeed to-have-come but to-the-dance
ἔρχεσθ', ἠὲ χοροῖο νέον λήγοντα καθίζειν."
to-be-going or from-the-dance just ceasing to-sit

III.7 · HELEN AND PARIS

Helen recognizes the goddess and refuses: let Aphrodite go and sit beside Paris herself. Aphrodite threatens to make her hated by both peoples, and Helen goes in fear. She sits facing Paris, averting her eyes, and taunts him for boasting he was stronger than Menelaus. Paris says Menelaus won with Athena's help, and that he has never desired her as he does now; they go to bed. Menelaus searches the throng in vain, and Agamemnon claims victory, calling on the Trojans to give back Helen and pay the penalty.

Ὣς φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·
So she-spoke of-her and then the-heart in breast she-stirred
καί ῥ' ὡς οὖν ἐνόησε θεᾶς περικαλλέα δειρὴν
and then when then she-noticed of-the-goddess very-fair neck
στήθεά θ' ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα,
breasts and lovely and eyes flashing
θάμβησέν τ' ἄρ' ἔπειτα ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
was-amazed and then thereafter word and spoke out and named(-her)
"δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;
strange-one why me these-things do-you-desire to-deceive
ἦ πῄ με προτέρω πολίων εὖ ναιομενάων
truly anywhere me farther of-cities well inhabited
ἄξεις, ἢ Φρυγίης ἢ Μῃονίης ἐρατεινῆς,
will-you-lead either of-Phrygia or of-Maeonia lovely

εἴ τίς τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων·
if any to-you also there dear of-mortal men
οὕνεκα δὴ νῦν δῖον Ἀλέξανδρον Μενέλαος
because indeed now noble Alexander Menelaus
νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ' ἄγεσθαι,
having-defeated wishes hateful me home to-lead
τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης;
therefore indeed now hither crafty-minded you-have-come-to-stand
ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόεικε κελεύθου,
sit beside him going of-the-gods and withdraw from-the-path
μηδ' ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,
nor still with-your feet may-you-turn-back to-Olympus
ἀλλ' αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε,
but always about him lament and him guard
εἰς ὅ κέ σ' ἢ ἄλοχον ποιήσεται, ἢ ὅ γε δούλην.
until the-time — you either wife he-makes or he indeed slave
κεῖσε δ' ἐγὼν οὐκ εἶμι — νεμεσσητὸν δέ κεν εἴη —
thither and I not go shameful and — it-would-be
κείνου πορσανέουσα λέχος· Τρῳαὶ δέ μ' ὀπίσσω
of-him to-share the-bed the-Trojan-women and me hereafter
πᾶσαι μωμήσονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῷ."
all will-blame I-have and griefs countless in-heart
Τὴν δὲ χολωσαμένη προσεφώνεε δῖ' Ἀφροδίτη·
Her and angered addressed noble Aphrodite
"μή μ' ἔρεθε, σχετλίη, μὴ χωσαμένη σε μεθείω,
not me provoke wretch lest angered you I-forsake
τὼς δέ σ' ἀπεχθήρω ὡς νῦν ἔκπαγλα φίλησα,
so and you I-hate as now exceedingly I-loved(-you)

μέσσῳ δ' ἀμφοτέρων μητίσομαι ἔχθεα λυγρά,
in-the-middle and of-both I-will-devise enmities grievous
Τρώων καὶ Δαναῶν, σὺ δέ κεν κακὸν οἶτον ὄληαι."
of-Trojans and of-Danaans you and — evil fate perish
Ὣς ἔφατ', ἔδεισεν δ' Ἑλένη Διὸς ἐκγεγαυῖα,
So she-spoke feared and Helen of-Zeus born
βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ
went and having-wrapped-herself in-robe white shining
420 σιγῇ, πάσας δὲ Τρῳὰς λάθεν· ἦρχε δὲ δαίμων.
in-silence all and the-Trojan-women escaped led and the-divinity
Αἱ δ' ὅτ' Ἀλεξάνδροιο δόμον περικαλλέ' ἵκοντο,
They and when of-Alexander the-house very-fair reached
ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο,
the-handmaids indeed then quickly to tasks turned
ἡ δ' εἰς ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.
she and into high-roofed chamber went bright of-women
τῇ δ' ἄρα δίφρον ἑλοῦσα φιλομμειδὴς Ἀφροδίτη
for-her and then a-chair having-taken smile-loving Aphrodite
425 ἀντί' Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα·
facing Alexander the-goddess set bringing(-it)
ἔνθα κάθιζ' Ἑλένη, κούρη Διὸς αἰγιόχοιο,
there sat Helen daughter of-Zeus aegis-bearing
ὄσσε πάλιν κλίνασα, πόσιν δ' ἠνίπαπε μύθῳ·
eyes back turning the-husband and rebuked with-word
"ἦλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι,
you-came from war if-only you-had there perished
ἀνδρὶ δαμεὶς κρατερῷ, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
by-a-man subdued strong who my former husband was

ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηϊφίλου Μενελάου
truly indeed truly before indeed you-boasted than-dear-to-Ares Menelaus
σῇ τε βίῃ καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι·
in-your both might and in-hands and in-spear stronger to-be
ἀλλ' ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
but go now challenge dear-to-Ares Menelaus
ἐξαῦτις μαχέσασθαι ἐναντίον· ἀλλά σ' ἔγωγε
again to-fight face-to-face but you I-indeed
παύεσθαι κέλομαι, μηδὲ ξανθῷ Μενελάῳ
to-stop bid nor with-fair-haired Menelaus
ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
in-opposition war to-war and to-fight
ἀφραδέως, μή πως τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήῃς."
foolishly lest somehow soon under him by-spear you-be-subdued
Τὴν δὲ Πάρις μύθοισιν ἀμειβόμενος προσέειπε·
Her and Paris with-words answering addressed
"μή με, γύναι, χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε·
not me wife with-harsh reproaches in-heart rebuke
νῦν μὲν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ,
now indeed for Menelaus has-won with Athena
κεῖνον δ' αὖτις ἐγώ· πάρα γὰρ θεοί εἰσι καὶ ἡμῖν.
him and another-time I beside for gods are also for-us
ἀλλ' ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντε·
but come indeed in-love let-us-take-our-pleasure having-gone-to-bed
οὐ γάρ πώ ποτέ μ' ὧδέ γ' ἔρως φρένας ἀμφεκάλυψεν,
not for yet ever me so indeed desire mind enveloped
οὐδ' ὅτε σε πρῶτον Λακεδαίμονος ἐξ ἐρατεινῆς
not-even when you first Lacedaemon out-of lovely
ἔπλεον ἁρπάξας ἐν ποντοπόροισι νέεσσι,
I-sailed having-snatched(-you) in seafaring ships

νήσῳ δ' ἐν Κραναῇ ἐμίγην φιλότητι καὶ εὐνῇ,
island and in Cranae I-lay-with(-you) in-love and in-bed
ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ."
as you now I-desire and me sweet longing seizes
Ἦ ῥα, καὶ ἄρχε λέχοσδε κιών· ἅμα δ' εἵπετ' ἄκοιτις.
He-spoke then and led to-the-bed going together and followed the-wife
Τὼ μὲν ἄρ' ἐν τρητοῖσι κατεύνασθεν λεχέεσσιν,
The-two indeed then in inlaid lay-down bed
Ἀτρεΐδης δ' ἀν' ὅμιλον ἐφοίτα θηρὶ ἐοικώς,
the-son-of-Atreus and through the-throng roamed to-a-beast like
εἴ που ἐσαθρήσειεν Ἀλέξανδρον θεοειδέα.
if anywhere he-might-catch-sight-of Alexander godlike
ἀλλ' οὔ τις δύνατο Τρώων κλειτῶν τ' ἐπικούρων
but not anyone was-able of-the-Trojans famed and of-the-allies
δεῖξαι Ἀλέξανδρον τότ' ἀρηϊφίλῳ Μενελάῳ·
to-show Alexander then to-dear-to-Ares Menelaus
οὐ μὲν γὰρ φιλότητί γ' ἐκεύθανον, εἴ τις ἴδοιτο·
not indeed for out-of-love indeed they-would-have-hidden if anyone had-seen(-him)
ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ.
equally for to-them all he-was-hated to-doom black
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
among-them and also spoke lord of-men Agamemnon
"κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι·
hear me Trojans and Dardanians and allies
νίκη μὲν δὴ φαίνετ' ἀρηϊφίλου Μενελάου,
victory indeed truly appears of-dear-to-Ares Menelaus

ὑμεῖς δ᾽ Ἀργείην Ἑλένην καὶ κτήματθ᾽ ἅμ᾽ αὐτῇ
you and Argive Helen and the-possessions together-with her
ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν ἥν τιν᾽ ἔοικεν,
give-up and a-penalty to-pay which any is-fitting
ἥ τε καὶ ἐσσομένοισι μετ᾽ ἀνθρώποισι πέληται.᾽᾽ 460
which — also to-come among men shall-be
Ὣς ἔφατ᾽ Ἀτρεΐδης, ἐπὶ δ᾽ ἤνεον ἄλλοι Ἀχαιοί.
So he-spoke the-son-of-Atreus on and approved the-other Achaeans

BOOK IV

IV.1 · THE GODS IN COUNCIL

The gods drink nectar on Olympus and look down on Troy. Zeus teases Hera and Athena that they only watch while Aphrodite saves Paris, and proposes that the city be left standing and Helen returned. Hera rages that her toil would be wasted, and Zeus asks what Priam has done to make her want to eat him raw. He lets her have Troy, though he loved it most of all cities, and she gives up Argos, Sparta, and Mycenae to him in return. At her request Zeus sends Athena to make the Trojans break the oaths first.

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
They and the-gods beside Zeus sitting held-assembly
χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη
golden on floor among and them queenly Hebe
νέκταρ ἐῴνοχόει· τοὶ δὲ χρυσέοις δεπάεσσι
nectar poured-as-wine they and with-golden cups
δειδέχατ' ἀλλήλους, Τρώων πόλιν εἰσορόωντες.
pledged each-other of-the-Trojans the-city looking-at
αὐτίκ' ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρην
at-once tried the-son-of-Cronus to-provoke Hera
κερτομίοις ἐπέεσσι, παραβλήδην ἀγορεύων·
with-mocking words maliciously speaking
"δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων,
two indeed for-Menelaus helpers are of-goddesses
Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηΐς Ἀθήνη.
Hera both Argive and Alalcomenean Athena

ἀλλ᾽ ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι
but truly they apart sitting looking-on
τέρπεσθον· τῷ δ᾽ αὖτε φιλομμειδὴς Ἀφροδίτη
delight-themselves him and in-turn smile-loving Aphrodite
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει·
always stands-beside and from-him the-fates wards-off
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
and now she-has-saved(-him) thinking to-die
ἀλλ᾽ ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου·
but truly the-victory indeed of-dear-to-Ares Menelaus
ἡμεῖς δὲ φραζώμεθ᾽ ὅπως ἔσται τάδε ἔργα,
we and let-us-consider how shall-be these deeds
ἤ ῥ᾽ αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
whether then again war both evil and battle dread
ὄρσομεν, ἦ φιλότητα μετ᾽ ἀμφοτέροισι βάλωμεν.
we-shall-rouse or friendship among both we-should-cast
εἰ δ᾽ αὖ πως τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,
if and in-turn somehow this to-all dear and sweet should-be
ἤτοι μὲν οἰκέοιτο πόλις Πριάμοιο ἄνακτος,
truly indeed may-be-inhabited the-city of-Priam lord
αὖτις δ᾽ Ἀργείην Ἑλένην Μενέλαος ἄγοιτο.”
back and Argive Helen Menelaus may-lead
Ὣς ἔφαθ᾽, αἱ δ᾽ ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη·
So he-spoke they and muttered Athena both and Hera
πλησίαι αἵ γ᾽ ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην.
near-together they indeed sat evils and for-the-Trojans devised
ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε,
truly Athena silent was nor anything said
σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ἧρει·
sullen at-Zeus father anger and her savage seized

Ἥρῃ δ’ οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
of-Hera and not contained the-breast the-anger but she-addressed(-him)
“αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες·
most-dread son-of-Cronus what — word you-spoke
πῶς ἐθέλεις ἄλιον θεῖναι πόνον ἠδ’ ἀτέλεστον,
how you-wish vain to-make the-toil and unaccomplished
ἱδρῶ θ’ ὃν ἵδρωσα μόγῳ, καμέτην δέ μοι ἵπποι
the-sweat and which I-sweated with-labor grew-weary and my horses
λαὸν ἀγειρούσῃ, Πριάμῳ κακὰ τοῖό τε παισίν.
the-people gathering for-Priam evils of-him and for-the-sons
ἕρδ’· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.”
do(-it) but not to-you all approve gods other
Τὴν δὲ μέγ’ ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Her and greatly vexed addressed cloud-gatherer Zeus
“δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες
strange-one what now you Priam of-Priam and the-sons
τόσσα κακὰ ῥέζουσιν, ὅ τ’ ἀσπερχὲς μενεαίνεις
so-many evils do that — vehemently you-are-eager
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον;
of-Ilium to-sack well-built citadel
εἰ δὲ σύ γ’ εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ
if and you indeed entering the-gates and walls long
ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας
raw should-devour Priam of-Priam and the-sons
ἄλλους τε Τρῶας, τότε κεν χόλον ἐξακέσαιο.
other and Trojans then — the-anger you-would-heal
ἔρξον ὅπως ἐθέλεις· μὴ τοῦτό γε νεῖκος ὀπίσσω
do(-it) as you-wish lest this indeed quarrel hereafter
σοὶ καὶ ἐμοὶ μέγ’ ἔρισμα μετ’ ἀμφοτέροισι γένηται.
for-you and for-me a-great strife between both become

ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
another and to-you I-will-say you and in mind lay(-it) your
ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι
whenever — also I eager a-city to-sack
τὴν ἐθέλω ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασι,
that I-wish where to-you dear men are-born
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ' ἐâσαι·
not at-all to-hinder — my anger but me let(-it-be)
καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ·
even for I to-you gave(-it) willing unwilling indeed with-heart
αἳ γὰρ ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι
which for beneath sun both and heaven starry
ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων,
dwell the-cities of-earthly men
τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρὴ
of-them to-me above at-heart was-honored Ilium sacred
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
and Priam and the-people of-good-ash-spear Priam
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
not for my ever altar lacked of-feast equal
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς."
of-libation both of-savor and this for we-received as-prize we
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Him and answered then ox-eyed queenly Hera
"ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες,
truly to-me three indeed by-far dearest are cities
Ἄργός τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη·
Argos both Sparta both and wide-streeted Mycenae
τὰς διαπέρσαι, ὅτ' ἄν τοι ἀπέχθωνται περὶ κῆρι·
these sack when — to-you they-become-hateful above at-heart

τάων οὔ τοι ἐγὼ πρόσθ' ἴσταμαι οὐδὲ μεγαίρω.
for-these not you-know I before stand nor begrudge
εἴ περ γὰρ φθονέω τε καὶ οὐκ εἰῶ διαπέρσαι,
if indeed for I-begrudge both and not allow to-sack(-them)
οὐκ ἀνύω φθονέουσ', ἐπεὶ ἦ πολὺ φέρτερός ἐσσι.
not I-accomplish begrudging since truly much stronger you-are
ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον·
but it-is-needful also my to-make toil not unaccomplished
καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι ἔνθεν ὅθεν σοί,
also for I a-god am the-race and to-me thence whence for-you
καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης,
and me eldest bore Cronus crooked-counseled
ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις
on-both-counts by-birth both and because your wife
κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις.
I-am-called you and all among the-immortals rule
ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι,
but truly indeed in-these-things let-us-give-way to-each-other
σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί· ἐπὶ δ' ἕψονται θεοὶ ἄλλοι
to-you indeed I you and to-me on and will-follow gods other
ἀθάνατοι· σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι
the-immortals you and quickly Athena bid
ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν,
to-go into of-the-Trojans and of-the-Achaeans the-battle dread
πειρᾶν δ' ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
to-try and how — the-Trojans the-exultant Achaeans
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι."
may-begin first against the-oaths to-harm

Ὣς ἔφατ', οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
So she-spoke nor disobeyed the-father of-men both of-gods and
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
at-once Athena words winged addressed
"αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς,
quickly very into the-host go among the-Trojans and Achaeans
πειρᾶν δ' ὥς κε Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
to-try and how — the-Trojans the-exultant Achaeans
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι."
may-begin first against the-oaths to-harm

IV.2 · PANDARUS' ARROW

Athena darts down like a falling star and, in the shape of Laodocus, persuades Pandarus to shoot Menelaus for the glory and Paris' gifts. Pandarus strings his great bow of wild goat's horn behind his comrades' shields, prays to Apollo, and lets the arrow fly. Athena turns it aside as a mother brushes a fly from her sleeping child. It pierces the belt, the corselet, and the guard and grazes the skin, and the blood stains Menelaus' thighs like ivory dyed with purple.

Ὣς εἰπὼν ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην,
So having-spoken he-urged already eager Athena
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
went and down-from of-Olympus the-peaks darting
οἷον δ' ἀστέρα ἧκε Κρόνου πάϊς ἀγκυλομήτεω,
like and a-star sends of-Cronus the-son crooked-counseled
ἢ ναύτῃσι τέρας ἠὲ στρατῷ εὐρεῖ λαῶν,
either for-sailors a-portent or for-an-army broad of-people
λαμπρόν· τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται·
bright of-it and — many from sparks are-sent

τῷ ἐϊκυῖ᾽ ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη,
to-it likened darted to earth Pallas Athena
κὰδ δ᾽ ἔθορ᾽ ἐς μέσσον· θάμβος δ᾽ ἔχεν εἰσορόωντας,
down and she-leapt into the-middle amazement and held(-those) looking-on
Τρῶάς θ᾽ ἱπποδάμους καὶ ἐϋκνήμιδας Ἀχαιούς·
Trojans both horse-taming and well-greaved Achaeans
ὣδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and someone would-say looking to neighbor other
“ἦ ῥ᾽ αὖτις πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
truly then again war both evil and battle dread
ἔσσεται, ἢ φιλότητα μετ᾽ ἀμφοτέροισι τίθησι
will-be or friendship among both he-sets
Ζεύς, ὅς τ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.”
Zeus who — of-men the-dispenser of-war has-been-made
Ὣς ἄρα τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε.
So then someone would-say of-the-Achaeans both of-the-Trojans and
ἡ δ᾽ ἀνδρὶ ἰκέλη Τρώων κατεδύσεθ᾽ ὅμιλον,
she and to-a-man like of-the-Trojans entered the-throng
Λαοδόκῳ Ἀντηνορίδῃ, κρατερῷ αἰχμητῇ,
to-Laodocus son-of-Antenor mighty spearman
Πάνδαρον ἀντίθεον διζημένη, εἴ που ἐφεύροι.
Pandarus godlike seeking if anywhere she-might-find(-him)
εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε
she-found of-Lycaon the-son blameless both mighty and
ἑσταότ᾽· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
standing around and him mighty ranks of-shield-bearers
λαῶν, οἵ οἱ ἕποντο ἀπ᾽ Αἰσήποιο ῥοάων·
of-the-people who him followed from of-Aesepus the-streams
ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed

"ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον.
truly then now to-me in-something would-you-obey of-Lycaon son wise
τλαίης κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν,
you-would-dare — at-Menelaus to-let-fly swift arrow
95 πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο,
from-all and — the-Trojans thanks and glory you-would-win
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρῳ βασιλῆϊ.
of all and most from-Alexander the-king
τοῦ κεν δὴ πάμπρωτα παρ' ἀγλαὰ δῶρα φέροιο,
him — indeed first-of-all from glorious gifts you-would-carry
αἴ κεν ἴδῃ Μενέλαον ἀρήϊον Ἀτρέος υἱὸν
if — he-sees Menelaus warlike of-Atreus son
σῷ βέλεϊ δμηθέντα πυρῆς ἐπιβάντ' ἀλεγεινῆς.
by-your arrow subdued on-the-pyre mounted grievous
100 ἀλλ' ἄγ' ὀΐστευσον Μενελάου κυδαλίμοιο,
but come shoot at-Menelaus glorious
εὔχεο δ' Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξῳ
pray and to-Apollo Lycian-born famed-for-the-bow
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
of-lambs first-born to-offer a-glorious hecatomb
οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης."
home having-returned of-holy to town Zeleia
Ὣς φάτ' Ἀθηναίη, τῷ δὲ φρένας ἄφρονι πείθεν·
So spoke Athena of-him and the-mind of-the-fool she-persuaded
105 αὐτίκ' ἐσύλα τόξον ἐΰξοον ἰξάλου αἰγὸς
at-once he-stripped-off the-bow well-polished of-a-bounding goat
ἀγρίου, ὅν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοιο τυχήσας
wild which then once himself under the-breast hitting(-it)
πέτρης ἐκβαίνοντα δεδεγμένος ἐν προδοκῇσι
from-a-rock stepping-out having-awaited(-it) in an-ambush

βεβλήκει πρὸς στῆθος· ὁ δ' ὕπτιος ἔμπεσε πέτρῃ.
had-struck in the-chest it and backward fell on-the-rock

τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει·
of-it the-horns from the-head sixteen-palms had-grown

καὶ τὰ μὲν ἀσκήσας κεραοξόος ἤραρε τέκτων,
and them indeed having-worked a-horn-polishing fitted a-craftsman

πᾶν δ' εὖ λειήνας χρυσέην ἐπέθηκε κορώνην.
all and well having-smoothed golden set-on a-tip

καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος ποτὶ γαίῃ
and it indeed well laid-down having-strung(-it) against the-ground

ἀγκλίνας· πρόσθεν δὲ σάκεα σχέθον ἐσθλοὶ ἑταῖροι,
leaning(-it) before and shields held noble comrades

μὴ πρὶν ἀναΐξειαν ἀρήϊοι υἷες Ἀχαιῶν,
lest before should-spring-up the-warlike sons of-the-Achaeans

πρὶν βλῆσθαι Μενέλαον ἀρήϊον Ἀτρέος υἱόν.
before to-be-struck Menelaus warlike of-Atreus son

αὐτὰρ ὁ σύλα πῶμα φαρέτρης, ἐκ δ' ἕλετ' ἰὸν
but he stripped-off the-lid of-the-quiver out and he-took an-arrow

ἀβλῆτα πτερόεντα, μελαινέων ἕρμ' ὀδυνάων·
unshot winged of-black the-source of-pains

αἶψα δ' ἐπὶ νευρῇ κατεκόσμει πικρὸν ὀϊστόν,
quickly and on the-string he-fitted the-bitter arrow

εὔχετο δ' Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξῳ
he-prayed and to-Apollo Lycian-born famed-for-the-bow

ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
of-lambs first-born to-offer a-glorious hecatomb

οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης.
home having-returned of-holy to town Zeleia

ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια·
he-drew and together the-notches both grasping and the-string of-ox-hide

νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον.
the-string indeed to-the-breast he-brought to-the-bow and the-iron
αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε,
but when indeed round-curved great the-bow he-had-drawn
λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀϊστὸς
twanged the-bow the-string and loudly sang leapt and the-arrow
ὀξυβελής, καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων.
sharp-pointed through the-throng to-fly-forth eager
Οὐδὲ σέθεν, Μενέλαε, θεοὶ μάκαρες λελάθοντο
Nor you Menelaus the-gods blessed did-forget
ἀθάνατοι, πρώτη δὲ Διὸς θυγάτηρ ἀγελείη,
the-immortals first and of-Zeus daughter driver-of-spoil
ἥ τοι πρόσθε στᾶσα βέλος ἐχεπευκὲς ἄμυνεν.
who for-you before having-stood the-shaft sharp warded-off
ἡ δὲ τόσον μὲν ἔεργεν ἀπὸ χροός, ὡς ὅτε μήτηρ
she and so-far indeed kept(-it) from the-flesh as when a-mother
παιδὸς ἐέργῃ μυῖαν, ὅθ' ἡδεῖ λέξεται ὕπνῳ,
from-her-child keeps-off a-fly when in-sweet he-lies sleep
αὐτὴ δ' αὖτ' ἴθυνεν ὅθι ζωστῆρος ὀχῆες
she and in-turn guided(-it) where of-the-belt the-clasps
χρύσειοι σύνεχον καὶ διπλόος ἥντετο θώρηξ.
golden joined and double met the-corselet
ἐν δ' ἔπεσε ζωστῆρι ἀρηρότι πικρὸς ὀϊστός·
in and fell the-belt fitted the-bitter arrow
διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο,
through indeed then the-belt it-was-driven well-wrought
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο
and through the-corselet very-intricate it-was-thrust
μίτρης θ', ἣν ἐφόρει ἔρυμα χροός, ἔρκος ἀκόντων,
the-guard and which he-wore a-defense for-the-flesh a-fence against-darts

ᾗ οἱ πλεῖστον ἔρυτο· διαπρὸ δὲ εἴσατο καὶ τῆς.
which for-him most protected right-through and it-passed also it
ἀκρότατον δ᾽ ἄρ᾽ ὀϊστὸς ἐπέγραψε χρόα φωτός·
outermost and then the-arrow grazed the-flesh of-the-man
αὐτίκα δ᾽ ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς. 140
at-once and flowed blood dark-clouded from the-wound
Ὡς δ᾽ ὅτε τίς τ᾽ ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ
As and when someone — ivory a-woman with-purple stains
Μῃονὶς ἠὲ Κάειρα, παρήϊον ἔμμεναι ἵππων·
Maeonian or Carian a-cheek-piece to-be of-horses
κεῖται δ᾽ ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήσαντο
it-lies and in a-chamber many and it have-prayed
ἱππῆες φορέειν· βασιλῆϊ δὲ κεῖται ἄγαλμα,
horsemen to-wear for-a-king and it-lies a-treasure
ἀμφότερον κόσμος θ᾽ ἵππῳ ἐλατῆρί τε κῦδος· 145
both ornament and for-the-horse for-the-driver and glory
τοῖοί τοι, Μενέλαε, μιάνθην αἵματι μηροὶ
so you-know Menelaus were-stained with-blood the-thighs
εὐφυέες κνῆμαί τε ἰδὲ σφυρὰ κάλ᾽ ὑπένερθε.
shapely shins both and ankles fair beneath

Agamemnon shudders at the blood and laments that the oaths have killed his brother. He is sure that Zeus will one day destroy Troy for the perjury, but fears the shame of going home with Menelaus dead and the Trojans leaping on Menelaus' tomb. Menelaus tells him the wound is not mortal. Talthybius fetches Machaon, son of Asclepius, who draws the arrow, sucks out the blood, and spreads on it the drugs Cheiron gave his father.

Ῥίγησεν δ' ἄρ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Shuddered and then thereafter lord of-men Agamemnon
ὡς εἶδεν μέλαν αἷμα καταρρέον ἐξ ὠτειλῆς·
as he-saw dark blood flowing-down from the-wound
ῥίγησεν δὲ καὶ αὐτὸς ἀρηΐφιλος Μενέλαος.
shuddered and also himself dear-to-Ares Menelaus
ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας,
as and he-saw the-binding both and the-barbs outside being
ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη.
back to-him the-spirit in breast was-gathered
τοῖς δὲ βαρὺ στενάχων μετέφη κρείων Ἀγαμέμνων,
among-them and heavily groaning spoke-among lord Agamemnon
χειρὸς ἔχων Μενέλαον, ἐπεστενάχοντο δ' ἑταῖροι·
by-the-hand holding Menelaus groaned-in-answer and the-comrades
"φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι' ἔταμνον,
dear brother death now for-you oaths I-cut
οἷον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι,
alone having-set(-you) before the-Achaeans with-the-Trojans to-fight
ὥς σ' ἔβαλον Τρῶες, κατὰ δ' ὅρκια πιστὰ πάτησαν.
as you have-struck the-Trojans down and oaths faithful trampled

οὐ μέν πως ἄλιον πέλει ὅρκιον αἷμά τε ἀρνῶν
not indeed somehow vain is an-oath blood both of-lambs
σπονδαί τ᾽ ἄκρητοι καὶ δεξιαί, ᾗς ἐπέπιθμεν.
libations and unmixed and right-hands in-which we-trusted
εἴ περ γάρ τε καὶ αὐτίκ᾽ Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
if indeed for — even at-once the-Olympian not has-fulfilled(-it)
ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτεισαν,
out both even late he-fulfills with and greatly they-pay
σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.
with their-own heads wives both and children
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
well for I this know in mind and in heart
ἔσσεται ἦμαρ ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴλιος ἱρὴ
will-be a-day when — some-time shall-perish Ilium sacred
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο,
and Priam and the-people of-good-ash-spear Priam
Ζεὺς δέ σφι Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
Zeus and on-them son-of-Cronus high-throned in-the-upper-air dwelling
αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσι
himself will-shake-over dark aegis on-all
τῆσδ᾽ ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα·
for-this deceit angered these-things indeed will-be not unaccomplished
ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται, ὦ Μενέλαε,
but to-me dread grief for-you will-be O Menelaus
αἴ κε θάνῃς καὶ πότμον ἀναπλήσῃς βιότοιο.
if — you-die and the-doom fulfill of-life
καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην·
and — most-shamed thirsty Argos I-should-reach
αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης·
at-once for will-remember the-Achaeans native land

κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιμεν
down and — a-boast to-Priam and to-the-Trojans we-would-leave
Ἀργείην Ἑλένην· σέο δ' ὀστέα πύσει ἄρουρα
Argive Helen your and bones will-rot the-earth
κειμένου ἐν Τροίῃ ἀτελευτήτῳ ἐπὶ ἔργῳ.
lying in Troy unaccomplished on work
καί κέ τις ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων
and — someone thus will-say of-the-Trojans overweening
τύμβῳ ἐπιθρῴσκων Μενελάου κυδαλίμοιο·
the-tomb leaping-on of-Menelaus glorious
'αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσει' Ἀγαμέμνων,
if-only so on all anger may-fulfill Agamemnon
ὡς καὶ νῦν ἄλιον στρατὸν ἤγαγεν ἐνθάδ' Ἀχαιῶν,
as also now in-vain an-army he-led here of-the-Achaeans
καὶ δὴ ἔβη οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
and indeed he-went homeward dear to native land
σὺν κεινῇσιν νηυσί, λιπὼν ἀγαθὸν Μενέλαον.'
with empty ships leaving good Menelaus
ὥς ποτέ τις ἐρέει· τότε μοι χάνοι εὐρεῖα χθών."
so some-day someone will-say then for-me may-gape broad earth
Τὸν δ' ἐπιθαρσύνων προσέφη ξανθὸς Μενέλαος·
Him and encouraging addressed fair-haired Menelaus
"θάρσει, μηδέ τί πω δειδίσσεο λαὸν Ἀχαιῶν·
take-courage nor at-all yet frighten the-people of-the-Achaeans
οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος, ἀλλὰ πάροιθεν
not in a-mortal-spot sharp stuck the-shaft but before
εἰρύσατο ζωστήρ τε παναίολος ἠδ' ὑπένερθε
warded(-it) the-belt both all-gleaming and beneath
ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες."
the-girdle both and the-guard which bronze-smiths wrought men

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
Him and answering addressed lord Agamemnon
"αἰ γὰρ δὴ οὕτως εἴη, φίλος ὦ Μενέλαε·
if-only for indeed so it-may-be dear O Menelaus
ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται ἠδ' ἐπιθήσει
the-wound and a-healer will-handle and will-lay-on
φάρμαχ', ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων."
drugs which — may-stop black pains
Ἦ, καὶ Ταλθύβιον, θεῖον κήρυκα, προσηύδα·
He-spoke and Talthybius godlike herald addressed
"Ταλθύβι', ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον,
Talthybius as quickly-as-possible Machaon hither summon
φῶτ' Ἀσκληπιοῦ υἱόν, ἀμύμονος ἰητῆρος,
the-man of-Asclepius son of-the-blameless healer
ὄφρα ἴδῃ Μενέλαον ἀρήϊον Ἀτρέος υἱόν,
so-that he-may-see Menelaus warlike of-Atreus son
ὅν τις ὀϊστεύσας ἔβαλεν, τόξων εὖ εἰδώς,
whom someone having-shot struck of-bows well knowing
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος."
of-the-Trojans or of-the-Lycians for-him indeed glory for-us and grief
Ὣς ἔφατ', οὐδ' ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας,
So he-spoke nor then him the-herald disobeyed hearing
βῆ δ' ἰέναι κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
went and to-go through the-people of-the-Achaeans bronze-coated
παπταίνων ἥρωα Μαχάονα· τὸν δὲ νόησεν
peering-about-for the-hero Machaon him and he-noticed
ἑσταότ'· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
standing around and him mighty ranks of-shield-bearers
λαῶν, οἵ οἱ ἕποντο Τρίκης ἐξ ἱπποβότοιο.
of-the-people who him followed Tricca from horse-pasturing

ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed
"ὄρσ', Ἀσκληπιάδη, καλέει κρείων Ἀγαμέμνων,
rise son-of-Asclepius calls(-you) lord Agamemnon
ὄφρα ἴδῃς Μενέλαον ἀρήϊον ἀρχὸν Ἀχαιῶν,
so-that you-may-see Menelaus warlike leader of-the-Achaeans
ὅν τις ὀϊστεύσας ἔβαλεν, τόξων εὖ εἰδώς,
whom someone having-shot struck of-bows well knowing
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος."
of-the-Trojans or of-the-Lycians for-him indeed glory for-us and grief
Ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·
So he-spoke of-him and then the-heart in breast he-stirred
βὰν δ' ἰέναι καθ' ὅμιλον ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
they-went and to-go through the-throng through army broad of-the-Achaeans
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι ξανθὸς Μενέλαος
but when indeed then they-came where fair-haired Menelaus
βλήμενος ἦν, περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι
struck was around and him were-gathered as-many-as best
κυκλόσ', ὁ δ' ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς,
in-a-circle he and in the-middle stood-by godlike man
αὐτίκα δ' ἐκ ζωστῆρος ἀρηρότος ἕλκεν ὀϊστόν·
at-once and from the-belt fitted he-drew the-arrow
τοῦ δ' ἐξελκομένοιο πάλιν ἄγεν ὀξέες ὄγκοι.
of-it and being-drawn-out back were-broken the-sharp barbs
λῦσε δέ οἱ ζωστῆρα παναίολον ἠδ' ὑπένερθε
loosed and his belt all-gleaming and beneath
ζῶμά τε καὶ μίτρην, τὴν χαλκῆες κάμον ἄνδρες.
the-girdle both and the-guard which bronze-smiths wrought men
αὐτὰρ ἐπεὶ ἴδεν ἕλκος, ὅθ' ἔμπεσε πικρὸς ὀϊστός,
but when he-saw the-wound where had-fallen the-bitter arrow

αἷμ᾽ ἐκμυζήσας ἐπ᾽ ἄρ᾽ ἤπια φάρμακα εἰδὼς
the-blood having-sucked-out on then soothing drugs knowingly
πάσσε, τά οἱ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.
he-sprinkled which for-him once to-father kindly minded gave Cheiron

IV.4 · AGAMEMNON REVIEWS THE ARMY

As the Trojans advance, Agamemnon goes on foot through the ranks, encouraging the eager and rebuking the slack, whom he likens to dazed fawns. He praises Idomeneus, who promises to stand by him, and the two Ajaxes, whose dark ranks advance like a storm cloud, and wishes every man had their spirit. He finds Nestor marshaling the chariots in front, the infantry behind, and the cowards between, and telling the drivers to keep their line and fight with the spear as men did of old.

Ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον,
While they busied-themselves-about at-the-war-cry good Menelaus
τόφρα δ᾽ ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων·
so-long and on of-the-Trojans the-ranks came of-shield-bearers
οἱ δ᾽ αὖτις κατὰ τεύχε᾽ ἔδυν, μνήσαντο δὲ χάρμης.
they and again in arms put-on remembered and the-fight
Ἔνθ᾽ οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον,
Then not — dozing you-would-see Agamemnon noble
οὐδὲ καταπτώσσοντ᾽, οὐδ᾽ οὐκ ἐθέλοντα μάχεσθαι,
nor cowering nor not wishing to-fight
ἀλλὰ μάλα σπεύδοντα μάχην ἐς κυδιάνειραν.
but very hastening battle into glory-giving
ἵππους μὲν γὰρ ἔασε καὶ ἅρματα ποικίλα χαλκῷ·
the-horses indeed for he-let-be and chariots inlaid with-bronze

καὶ τοὺς μὲν θεράπων ἀπάνευθ' ἔχε φυσιόωντας
and them indeed the-attendant apart held snorting
Εὐρυμέδων, υἱὸς Πτολεμαίου Πειραΐδαο·
Eurymedon son of-Ptolemaeus the-son-of-Peiraeus
τῷ μάλα πόλλ' ἐπέτελλε παρισχέμεν, ὁππότε κέν μιν
to-him very much he-enjoined to-keep(-them)-near whenever — him
γυῖα λάβῃ κάματος, πολέας διὰ κοιρανέοντα·
limbs should-seize weariness many through commanding
αὐτὰρ ὁ πεζὸς ἐὼν ἐπεπωλεῖτο στίχας ἀνδρῶν·
but he on-foot being ranged-over the-ranks of-men
καί ῥ' οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων,
and then whom indeed hastening he-saw of-the-Danaans of-swift-horses
τοὺς μάλα θαρσύνεσκε παριστάμενος ἐπέεσσιν·
them very he-would-encourage standing-beside with-words
" Ἀργεῖοι, μή πώ τι μεθίετε θούριδος ἀλκῆς·
Argives not yet at-all let-go of-furious courage
οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός,
not for to the-false father Zeus will-be a-helper
ἀλλ' οἵ περ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο,
but who indeed first against the-oaths did-harm
τῶν ἤτοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται,
of-them truly themselves the-tender flesh vultures will-eat
ἡμεῖς αὖτ' ἀλόχους τε φίλας καὶ νήπια τέκνα
we in-turn wives both dear and infant children
ἄξομεν ἐν νήεσσιν, ἐπὴν πτολίεθρον ἕλωμεν."
will-lead in ships when the-citadel we-take
Οὔς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο,
Whom any in-turn slacking he-saw from-hateful war
τοὺς μάλα νεικείεσκε χολωτοῖσιν ἐπέεσσιν·
them very he-would-rebuke with-angry words

" Ἀργεῖοι ἰόμωροι, ἐλεγχέες, οὔ νυ σέβεσθε;
Argives arrow-fighters disgraces not now do-you-feel-shame
τίφθ' οὕτως ἕστητε τεθηπότες ἠΰτε νεβροί,
why so do-you-stand dazed like fawns
αἵ τ' ἐπεὶ οὖν ἔκαμον πολέος πεδίοιο θέουσαι,
which — when then they-are-weary over-the-great plain running
ἑστᾶσ', οὐδ' ἄρα τίς σφι μετὰ φρεσὶ γίγνεται ἀλκή·
stand nor then any to-them in mind arises courage
ὣς ὑμεῖς ἕστητε τεθηπότες, οὐδὲ μάχεσθε.
so you stand dazed nor fight
ἦ μένετε Τρῶας σχεδὸν ἐλθέμεν, ἔνθα τε νῆες
truly you-wait-for the-Trojans near to-come where — the-ships
εἰρύατ' εὔπρυμνοι, πολιῆς ἐπὶ θινὶ θαλάσσης,
are-drawn-up with-fair-sterns of-the-gray on the-shore of-the-sea
ὄφρα ἴδητ' αἴ κ' ὔμμιν ὑπέρσχῃ χεῖρα Κρονίων;"
so-that you-may-see if — you will-hold-over a-hand the-son-of-Cronus
Ὣς ὅ γε κοιρανέων ἐπεπωλεῖτο στίχας ἀνδρῶν·
So he indeed commanding ranged-over the-ranks of-men
ἦλθε δ' ἐπὶ Κρήτεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
he-came and to the-Cretans going through the-throng of-men
οἱ δ' ἀμφ' Ἰδομενῆα δαΐφρονα θωρήσσοντο·
they and around Idomeneus wise were-arming
Ἰδομενεὺς μὲν ἐνὶ προμάχοις, συὶ εἴκελος ἀλκήν,
Idomeneus indeed among the-champions to-a-boar like in-strength
Μηριόνης δ' ἄρα οἱ πυμάτας ὤτρυνε φάλαγγας.
Meriones and then for-him the-hindmost urged ranks
τοὺς δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
them and seeing rejoiced lord of-men Agamemnon
αὐτίκα δ' Ἰδομενῆα προσηύδα μειλιχίοισιν·
at-once and Idomeneus he-addressed with-gentle(-words)

“ Ἰδομενεῦ, περὶ μέν σε τίω Δαναῶν ταχυπώλων
Idomeneus above indeed you I-honor of-the-Danaans of-swift-horses
ἠμὲν ἐνὶ πτολέμῳ ἠδ’ ἀλλοίῳ ἐπὶ ἔργῳ
both in war and other in work
ἠδ’ ἐν δαίθ’, ὅτε πέρ τε γερούσιον αἴθοπα οἶνον
and in the-feast when indeed — of-the-elders sparkling wine
Ἀργείων οἱ ἄριστοι ἐνὶ κρητῆρι κέρωνται.
of-the-Argives who best in a-bowl mix
εἴ περ γάρ τ’ ἄλλοι γε κάρη κομόωντες Ἀχαιοὶ
if indeed for — others indeed on-head long-haired Achaeans
δαιτρὸν πίνωσιν, σὸν δὲ πλεῖον δέπας αἰεὶ
an-allotted-portion drink your and full cup always
ἕστηχ’, ὥς περ ἐμοί, πιέειν ὅτε θυμὸς ἀνώγοι.
stands as indeed for-me to-drink when the-heart bids
ἀλλ’ ὄρσευ πόλεμόνδ’, οἷος πάρος εὔχεαι εἶναι.”
but rise to-war such-as before you-boast to-be
Τὸν δ’ αὖτ’ Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Him and in-turn Idomeneus of-the-Cretans leader in-reply spoke
“ Ἀτρεΐδη, μάλα μέν τοι ἐγὼν ἐρίηρος ἑταῖρος
son-of-Atreus very indeed to-you I trusty comrade
ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα·
will-be as the first I-undertook and nodded-assent
ἀλλ’ ἄλλους ὄτρυνε κάρη κομόωντας Ἀχαιούς,
but others urge on-head long-haired Achaeans
ὄφρα τάχιστα μαχώμεθ’, ἐπεὶ σύν γ’ ὅρκι’ ἔχευαν
so-that most-quickly we-may-fight since together indeed oaths they-poured
Τρῶες· τοῖσιν δ’ αὖ θάνατος καὶ κήδε’ ὀπίσσω
the-Trojans for-them and in-turn death and sorrows hereafter
ἔσσετ’, ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο.”
will-be since first against the-oaths they-did-harm

Ὣς ἔφατ', Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ·
So he-spoke the-son-of-Atreus and passed-on glad at-heart
ἦλθε δ' ἐπ' Αἰάντεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
he-came and to the-Ajaxes going through the-throng of-men
τὼ δὲ κορυσσέσθην, ἅμα δὲ νέφος εἵπετο πεζῶν.
the-two and were-arming together and a-cloud followed of-foot-soldiers
ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς εἶδεν νέφος αἰπόλος ἀνὴρ
as and when from a-lookout sees a-cloud a-goatherd man
ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο ἰωῆς·
coming over the-sea under of-Zephyrus the-blast
τῷ δέ τ' ἄνευθεν ἐόντι μελάντερον ἠΰτε πίσσα
to-him and — afar being blacker like pitch
φαίνετ' ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν,
it-appears going over the-sea it-brings and — a-whirlwind great
ῥίγησέν τε ἰδών, ὑπό τε σπέος ἤλασε μῆλα·
he-shuddered both seeing under and a-cave drove the-flocks
τοῖαι ἅμ' Αἰάντεσσι διοτρεφέων αἰζηῶν
such with the-Ajaxes of-Zeus-nurtured warriors
δῄϊον ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες
destructive into war close moved the-ranks
κυάνεαι, σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι.
dark with-shields both and with-spears bristling
καὶ τοὺς μὲν γήθησεν ἰδὼν κρείων Ἀγαμέμνων,
and them indeed rejoiced seeing lord Agamemnon
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and them having-spoken words winged addressed
"Αἴαντ', Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
Ajaxes of-the-Argives leaders bronze-coated
σφῶϊ μέν — οὐ γὰρ ἔοικ' ὀτρυνέμεν — οὔ τι κελεύω·
you-two indeed not for it-befits to-urge not at-all I-bid

αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετον ἶφι μάχεσθαι.
yourselves for very the-people bid mightily to-fight
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
if-only for Zeus both father and Athena and Apollo
τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο·
such in-all a-spirit in breast might-be
τῶ κε τάχ᾽ ἠμύσειε πόλις Πριάμοιο ἄνακτος,
then — soon would-bow-down the-city of-Priam lord
χερσὶν ὑφ᾽ ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε."
hands beneath our taken both sacked and
Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ᾽ ἄλλους·
So having-spoken them indeed he-left there went and to others
ἔνθ᾽ ὅ γε Νέστορ᾽ ἔτετμε, λιγὺν Πυλίων ἀγορητήν,
there he indeed Nestor found clear of-the-Pylians speaker
οὓς ἑτάρους στέλλοντα καὶ ὀτρύνοντα μάχεσθαι,
his-own comrades marshaling and urging to-fight
ἀμφὶ μέγαν Πελάγοντα Ἀλάστορά τε Χρομίον τε
around great Pelagon Alastor both Chromius and
Αἵμονά τε κρείοντα Βίαντά τε, ποιμένα λαῶν·
Haemon and lord Bias and shepherd of-the-people
ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφι,
the-horsemen indeed first with horses and chariots
πεζοὺς δ᾽ ἐξόπιθε στῆσεν πολέας τε καὶ ἐσθλούς,
the-foot-soldiers and behind he-set many both and brave
ἔρκος ἔμεν πολέμοιο· κακοὺς δ᾽ ἐς μέσσον ἔλασσεν,
a-bulwark to-be of-war the-cowards and into the-middle he-drove
ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι.
so-that even not wishing any by-necessity should-fight

ἱππεῦσιν μὲν πρῶτ᾽ ἐπετέλλετο· τοὺς γὰρ ἀνώγει
to-the-horsemen indeed first he-gave-charge them for he-bade
σφοὺς ἵππους ἐχέμεν μηδὲ κλονέεσθαι ὁμίλῳ·
their horses to-hold nor to-be-confused in-the-throng
"μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέῃφι πεποιθὼς
nor any in-horsemanship both and in-manliness trusting
οἷος πρόσθ᾽ ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι,
alone in-front-of others let-him-be-eager with-the-Trojans to-fight
μηδ᾽ ἀναχωρείτω· ἀλαπαδνότεροι γὰρ ἔσεσθε. 305
nor let-him-retreat weaker for you-will-be
ὃς δέ κ᾽ ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ᾽ ἅρμαθ᾽ ἵκηται,
who and — a-man from his-own chariot another's chariot reaches
ἔγχει ὀρεξάσθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτω.
with-the-spear let-him-thrust since truly much better so
ὧδε καὶ οἱ πρότεροι πόλεας καὶ τείχε᾽ ἐπόρθεον,
thus also the men-of-old cities and walls sacked
τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες."
this mind and spirit in breast having

Agamemnon wishes Nestor were young again, and Nestor recalls killing Ereuthalion but leaves the fighting to younger men. Agamemnon rebukes Menestheus and Odysseus for hanging back, though they are first at his feasts. Odysseus answers angrily, and Agamemnon smilingly takes his words back. He then taunts Diomedes with his father Tydeus, who went alone to Thebes as an envoy, beat the Cadmeans at every contest, and killed the fifty youths of their ambush, sparing only Maeon.

Ὣς ὁ γέρων ὄτρυνε πάλαι πολέμων ἐὺ εἰδώς·
So the old-man urged(-them) of-old of-wars well knowing
καὶ τὸν μὲν γήθησεν ἰδὼν κρείων Ἀγαμέμνων,
and him indeed rejoiced seeing lord Agamemnon
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"ὦ γέρον, εἴθ', ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν,
O old-man if-only as the-spirit in breast dear
ὥς τοι γούναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη·
so for-you the-knees might-follow strength and for-you firm might-be
ἀλλά σε γῆρας τείρει ὁμοΐιον· ὡς ὄφελέν τις
but you old-age wears-down common-to-all would-that ought someone
ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουροτέροισι μετεῖναι."
of-men other to-have(-it) you and among-the-younger to-be
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
"Ἀτρεΐδη, μάλα μέν τοι ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς
son-of-Atreus very indeed to-you I would-wish also myself
ὣς ἔμεν ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
so to-be as when noble Ereuthalion I-killed
ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν·
but not in-any-way together all-things the-gods gave to-men

εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ὀπάζει.
if then a-youth I-was now in-turn me old-age attends
ἀλλὰ καὶ ὥς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
but even so among-the-horsemen I-will-be and will-give-orders
βουλῇ καὶ μύθοισι· τὸ γὰρ γέρας ἐστὶ γερόντων.
with-counsel and with-words this for the-prize is of-the-old
αἰχμὰς δ' αἰχμάσσουσι νεώτεροι, οἵ περ ἐμεῖο
spears and will-wield the-younger who indeed than-me
ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφιν."
younger have-been-born trust and in-their-strength
Ὣς ἔφατ', Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ.
So he-spoke the-son-of-Atreus and passed-on glad at-heart
εὗρ' υἱὸν Πετεῶο Μενεσθῆα πλήξιππον
he-found the-son of-Peteos Menestheus driver-of-horses
ἑσταότ'· ἀμφὶ δ' Ἀθηναῖοι, μήστωρες ἀϋτῆς·
standing around and the-Athenians masters of-the-war-cry
αὐτὰρ ὁ πλησίον ἑστήκει πολύμητις Ὀδυσσεύς,
but he near stood of-many-wiles Odysseus
πὰρ δὲ Κεφαλλήνων ἀμφὶ στίχες οὐκ ἀλαπαδναὶ
beside and of-the-Cephallenians around ranks not feeble
ἔστασαν· οὐ γάρ πώ σφιν ἀκούετο λαὸς ἀϋτῆς,
stood not for yet to-them heard the-people the-war-cry
ἀλλὰ νέον συνορινόμεναι κίνυντο φάλαγγες
but just-now stirred-up-together were-moving the-ranks
Τρώων ἱπποδάμων καὶ Ἀχαιῶν· οἱ δὲ μένοντες
of-the-Trojans horse-taming and of-the-Achaeans they and waiting
ἔστασαν, ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν
stood until column of-the-Achaeans another coming-on
Τρώων ὁρμήσειε καὶ ἄρξειαν πολέμοιο.
at-the-Trojans should-rush and they-should-begin the-war

τοὺς δὲ ἰδὼν νείκεσσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
them and seeing rebuked lord of-men Agamemnon
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and them having-spoken words winged addressed
"ὦ υἱὲ Πετεῶο διοτρεφέος βασιλῆος,
O son of-Peteos Zeus-nurtured king
καὶ σύ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον,
and you in-evil tricks excelling crafty-minded
τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ' ἄλλους;
why cowering do-you-stand-apart you-wait and for-others
σφῶϊν μέν τ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας
you-two indeed — it-befits among the-foremost being
ἑστάμεν ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι·
to-stand and the-battle blazing to-meet
πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο,
first for also of-the-feast you-hear-the-call from-me
ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί.
whenever a-feast for-the-elders we-make-ready Achaeans
ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
there dear roast meats to-eat and cups
οἴνου πινέμεναι μελιηδέος, ὄφρ' ἐθέλητον·
of-wine to-drink honey-sweet as-long-as you-wish
νῦν δὲ φίλως χ' ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
now and gladly — you-would-look-on even if ten columns of-the-Achaeans
ὑμείων προπάροιθε μαχοίατο νηλεῖ χαλκῷ."
you before should-fight with-pitiless bronze
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Him and then from-under looking addressed of-many-wiles Odysseus
"Ἀτρεΐδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
son-of-Atreus what you word escaped the-fence of-teeth

πῶς δὴ φὴς πολέμοιο μεθιέμεν, ὁππότ' Ἀχαιοὶ
how indeed do-you-say from-war we-slacken when the-Achaeans
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα;
the-Trojans against horse-taming rouse keen Ares
ὄψεαι, ἢν ἐθέλησθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ
you-will-see if you-wish and if — to-you these-things are-a-care
Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα
of-Telemachus the-dear father with-the-champions mingled
Τρώων ἱπποδάμων· σὺ δὲ ταῦτ' ἀνεμώλια βάζεις." 355
of-the-Trojans horse-taming you and these-things windy babble

Τὸν δ' ἐπιμειδήσας προσέφη κρείων Ἀγαμέμνων,
Him and smiling addressed lord Agamemnon
ὡς γνῶ χωομένοιο· πάλιν δ' ὅ γε λάζετο μῦθον·
as he-knew(-him) angered back and he indeed took-up the-word
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
οὔτε σε νεικείω περιώσιον οὔτε κελεύω·
neither you I-rebuke beyond-measure nor bid
οἶδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν 360
I-know for how your heart in breast dear
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ τ' ἐγώ περ.
kindly counsels knows the(-things) for you-think which — I indeed
ἀλλ' ἴθι, ταῦτα δ' ὄπισθεν ἀρεσσόμεθ', εἴ τι κακὸν νῦν
but go these-things and hereafter we-will-make-amends if anything evil now
εἴρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν."
has-been-said these and all the-gods vain may-make

Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ' ἄλλους.
So having-spoken them indeed he-left there went and to others
εὗρε δὲ Τυδέος υἱόν, ὑπέρθυμον Διομήδεα, 365
he-found and of-Tydeus the-son high-spirited Diomedes

ἑσταότ᾽ ἔν θ᾽ ἵπποισι καὶ ἅρμασι κολλητοῖσι·
standing among both horses and chariots well-joined
πὰρ δέ οἱ ἑστήκει Σθένελος, Καπανῆϊος υἱός.
beside and him stood Sthenelus of-Capaneus son
καὶ τὸν μὲν νείκεσσεν ἰδὼν κρείων Ἀγαμέμνων,
and him indeed rebuked seeing lord Agamemnon
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"ὤ μοι, Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο,
ah me of-Tydeus son of-wise horse-taming
τί πτώσσεις, τί δ᾽ ὀπιπεύεις πολέμοιο γεφύρας;
why do-you-cower why and do-you-gaze-at of-war the-bridges
οὐ μὲν Τυδεΐ γ᾽ ὧδε φίλον πτωσκαζέμεν ἦεν,
not indeed for-Tydeus indeed so dear to-cower was
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηΐοισι μάχεσθαι,
but far before dear comrades with-the-foes to-fight
ὡς φάσαν οἵ μιν ἴδοντο πονεύμενον· οὐ γὰρ ἔγωγε
as they-said who him saw toiling not for I-indeed
ἤντησ᾽ οὐδὲ ἴδον· περὶ δ᾽ ἄλλων φασὶ γενέσθαι.
met(-him) nor saw(-him) above and others they-say he-was
ἤτοι μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας
truly indeed for without war he-came-to Mycenae
ξεῖνος ἅμ᾽ ἀντιθέῳ Πολυνείκεϊ, λαὸν ἀγείρων·
as-a-guest with godlike Polyneices an-army gathering
οἱ δὲ τότ᾽ ἐστρατόωνθ᾽ ἱερὰ πρὸς τείχεα Θήβης,
they and then were-encamped holy against the-walls of-Thebes
καί ῥα μάλα λίσσοντο δόμεν κλειτοὺς ἐπικούρους·
and then much they-begged to-give famed allies
οἱ δ᾽ ἔθελον δόμεναι καὶ ἐπήνεον ὡς ἐκέλευον·
they and were-willing to-give and approved as they-bade

ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων.
but Zeus turned(-them) unfavorable signs showing
οἱ δ' ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο,
they and when then had-gone and forward on-the-way were
Ἀσωπὸν δ' ἵκοντο βαθύσχοινον λεχεποίην,
the-Asopus and they-reached deep-rushed grassy
ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί.
there in-turn on-a-message upon Tydeus sent the-Achaeans
αὐτὰρ ὁ βῆ, πολέας δὲ κιχήσατο Καδμείωνας
but he went many and he-found sons-of-Cadmus
δαινυμένους κατὰ δῶμα βίης Ἐτεοκληείης.
feasting through the-house of-the-might of-Eteocles
ἔνθ' οὐδὲ ξεῖνός περ ἐὼν ἱππηλάτα Τυδεὺς
there not-even a-stranger though being horse-driving Tydeus
τάρβει, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισιν,
feared alone being many among the-Cadmeans
ἀλλ' ὅ γ' ἀεθλεύειν προκαλίζετο, πάντα δ' ἐνίκα
but he indeed to-contend challenged(-them) all and he-beat
ῥηϊδίως· τοίη οἱ ἐπίρροθος ἦεν Ἀθήνη.
easily such to-him a-helper was Athena
οἱ δὲ χολωσάμενοι Καδμεῖοι, κέντορες ἵππων,
they and having-been-angered the-Cadmeans goaders of-horses
ἆψ ἄρ' ἀνερχομένῳ πυκινὸν λόχον εἶσαν ἄγοντες,
back then for-him-returning a-close ambush set leading
κούρους πεντήκοντα· δύω δ' ἡγήτορες ἦσαν,
youths fifty two and leaders were
Μαίων Αἱμονίδης, ἐπιείκελος ἀθανάτοισιν,
Maeon son-of-Haemon like to-the-immortals
υἱός τ' Αὐτοφόνοιο, μενεπτόλεμος Πολυφόντης.
son and of-Autophonus steadfast-in-war Polyphontes

Τυδεὺς μὲν καὶ τοῖσιν ἀεικέα πότμον ἐφῆκε·
Tydeus indeed even on-them shameful doom sent
πάντας ἔπεφν', ἕνα δ' οἷον ἴει οἰκόνδε νέεσθαι·
all he-killed one and alone he-let homeward to-return
Μαίον' ἄρα προέηκε, θεῶν τεράεσσι πιθήσας.
Maeon then he-sent-forth of-the-gods to-the-portents obeying
τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱὸν
such was Tydeus the-Aetolian but the son
γείνατο εἶο χέρεια μάχῃ, ἀγορῇ δέ τ' ἀμείνω."
he-begot than-himself worse in-battle in-assembly and — better

IV.6 · THE ARMIES MEET

Diomedes takes the rebuke in silence, though Sthenelus protests that they took Thebes where their fathers failed. Diomedes says Agamemnon is right to urge the army and leaps down in his armor. The Danaans advance in silence, wave on wave like the sea, while the Trojans clamor in many tongues like bleating ewes. Ares and Athena drive them on with Terror, Rout, and Strife, and the armies clash like torrents meeting. Antilochus kills Echepolus, and Agenor kills Elephenor as he drags off the body.

Ὣς φάτο, τὸν δ' οὔ τι προσέφη κρατερὸς Διομήδης,
So he-spoke him and not at-all addressed mighty Diomedes
αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο·
revering of-the-king the-rebuke of-the-revered
τὸν δ' υἱὸς Καπανῆος ἀμείψατο κυδαλίμοιο·
him and the-son of-Capaneus answered of-glorious
" Ἀτρεΐδη, μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν·
son-of-Atreus not lie knowing clearly to-speak
ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι·
we you-know than-our-fathers much better boast to-be

ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο,
we also of-Thebes the-seat took seven-gated
παυρότερον λαὸν ἀγαγόνθ' ὑπὸ τεῖχος ἄρειον,
fewer people having-led under wall stronger
πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·
trusting in-the-portents of-the-gods and of-Zeus in-the-help
κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο·
they and by-their-own recklessness perished
τῶ μή μοι πατέρας ποθ' ὁμοίῃ ἔνθεο τιμῇ." 410
therefore not to-me the-fathers ever in-like put honor

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
Him and then from-under looking addressed mighty Diomedes
"τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ·
friend in-silence sit my and obey word
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι, ποιμένι λαῶν,
not for I blame Agamemnon shepherd of-the-people
ὀτρύνοντι μάχεσθαι ἐϋκνήμιδας Ἀχαιούς·
urging to-fight well-greaved Achaeans
τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ 415
to-him indeed for glory together will-follow if — the-Achaeans
Τρῶας δῃώσωσιν ἕλωσί τε Ἴλιον ἱρήν,
the-Trojans slay take and Ilium sacred
τούτῳ δ' αὖ μέγα πένθος Ἀχαιῶν δῃωθέντων.
to-him and in-turn great grief the-Achaeans slain
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς."
but come indeed also we-two let-us-be-mindful of-furious courage

Ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε·
He-spoke then and from the-chariot with arms leapt to-the-ground
δεινὸν δ' ἔβραχε χαλκὸς ἐπὶ στήθεσσιν ἄνακτος
terribly and rang bronze on breast of-the-lord
ὀρνυμένου· ὑπό κεν ταλασίφρονά περ δέος εἷλεν.
as-he-rushed under — the-steadfast-hearted even fear would-have-seized
Ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης
As and when on beach loud-echoing a-wave of-the-sea
ὄρνυτ' ἐπασσύτερον Ζεφύρου ὕπο κινήσαντος·
rises one-after-another Zephyrus beneath having-moved(-it)
πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
at-sea indeed — first it-crests but then
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας
on-land breaking loudly roars around and — the-headlands
κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην·
curving being it-rears-its-crest spits-out and of-the-sea the-foam
ὣς τότ' ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες
so then one-after-another of-the-Danaans moved the-ranks
νωλεμέως πόλεμόνδε· κέλευε δὲ οἷσιν ἕκαστος
ceaselessly to-war bade and his-own each
ἡγεμόνων· οἱ δ' ἄλλοι ἀκὴν ἴσαν, οὐδέ κε φαίης
of-the-leaders they and others silent went nor — you-would-say
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδήν,
so-great an-army to-follow having in breasts voice
σιγῇ δειδιότες σημάντορας· ἀμφὶ δὲ πᾶσι
in-silence fearing the-commanders around and on-all
τεύχεα ποικίλ' ἔλαμπε, τὰ εἱμένοι ἐστιχόωντο.
arms inlaid shone which clad they-marched-in-line

Τρῶες δ', ὥς τ' ὄϊες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ
the-Trojans and as — sheep of-a-wealthy man in courtyard
μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκόν,
countless stand being-milked milk white
ἀζηχὲς μεμακυῖαι ἀκούουσαι ὄπα ἀρνῶν,
ceaselessly bleating hearing the-voice of-the-lambs
ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει·
so of-the-Trojans the-war-cry through army broad arose
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς,
not for of-all was the-same cry nor one speech
ἀλλὰ γλῶσσ' ἐμέμικτο, πολύκλητοι δ' ἔσαν ἄνδρες.
but the-tongue was-mixed called-from-many-lands and were the-men
ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη
roused and these indeed Ares those and flashing-eyed Athena
Δεῖμός τ' ἠδὲ Φόβος καὶ Ἔρις ἄμοτον μεμαυῖα,
Terror both and Rout and Strife unceasingly raging
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε,
of-Ares man-slaying sister comrade and
ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
who — small indeed first she-crests but then
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει·
in-heaven fixes head and on earth walks
ἥ σφιν καὶ τότε νεῖκος ὁμοῖϊον ἔμβαλε μέσσῳ
who among-them also then strife common cast into-the-middle
ἐρχομένη καθ' ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν.
going through the-throng increasing the-groaning of-men

Οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
They and when indeed then into place one meeting came
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
together then they-dashed shields together and spears and might of-men
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
bronze-corseleted but shields bossed
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
pressed-on each-other great and din arose
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
there and together wailing both and boasting was of-men
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα.
of-slaying both and of-being-slain flowed and with-blood the-earth
ὡς δ' ὅτε χείμαρροι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες
as and when winter-torrent rivers down mountains flowing
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ
into a-meeting-of-valleys throw-together mighty water
κρουνῶν ἐκ μεγάλων κοίλης ἔντοσθε χαράδρης,
springs from great of-a-hollow within ravine
τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν·
of-them and — far-off the-thunder in mountains hears a-shepherd
ὣς τῶν μισγομένων γένετο ἰαχή τε πόνος τε.
so of-them mingling arose shouting both toil and
Πρῶτος δ' Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστὴν
First and Antilochus of-the-Trojans took a-man helmeted
ἐσθλὸν ἐνὶ προμάχοισι, Θαλυσιάδην Ἐχέπωλον·
noble among the-champions son-of-Thalysius Echepolus
τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης,
whom then he-struck first of-the-helmet on-the-horn horsehair-crested

ἐν δὲ μετώπῳ πῆξε, πέρησε δ᾽ ἄρ᾽ ὀστέον εἴσω
in and forehead fixed(-it) pierced and then the-bone inward
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψεν,
the-point bronze him and darkness the-eyes covered
ἤριπε δ᾽, ὡς ὅτε πύργος, ἐνὶ κρατερῇ ὑσμίνῃ.
he-fell and as when a-tower in mighty combat
τὸν δὲ πεσόντα ποδῶν ἕλαβε κρείων Ἐλεφήνωρ
him and fallen by-the-feet seized lord Elephenor
Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων,
son-of-Chalcodon of-the-great-hearted leader Abantes
ἕλκε δ᾽ ὑπὲκ βελέων, λελιημένος ὄφρα τάχιστα
he-dragged(-him) and out-of the-missiles eager so-that most-quickly
τεύχεα συλήσειε· μίννυθα δέ οἱ γένεθ᾽ ὁρμή.
the-arms he-might-strip short-lived and his was the-onset
νεκρὸν γὰρ ἐρύοντα ἰδὼν μεγάθυμος Ἀγήνωρ
the-corpse for dragging seeing great-hearted Agenor
πλευρά, τά οἱ κύψαντι παρ᾽ ἀσπίδος ἐξεφαάνθη,
the-ribs which for-him stooping beside the-shield were-exposed
οὔτησε ξυστῷ χαλκήρεϊ, λῦσε δὲ γυῖα.
he-wounded with-the-spear bronze-tipped loosed and limbs
ὣς τὸν μὲν λίπε θυμός, ἐπ᾽ αὐτῷ δ᾽ ἔργον ἐτύχθη
so him indeed left the-spirit over him and a-work was-wrought
ἀργαλέον Τρώων καὶ Ἀχαιῶν· οἱ δὲ λύκοι ὡς
grievous of-Trojans and of-Achaeans they and wolves like
ἀλλήλοις ἐπόρουσαν, ἀνὴρ δ᾽ ἄνδρ᾽ ἐδνοπάλιζεν.
at-each-other sprang man and man shook

Ajax kills the young Simoeisius, who falls like a poplar felled for a chariot wheel, and Antiphus misses Ajax but kills Leucus. Odysseus avenges his comrade by killing Democoon, Priam's bastard son, and the Trojans give way until Apollo shouts that Achilles is not fighting. Athena rouses the Achaeans. Peiros crushes Diores' ankle with a stone and spears him, Thoas kills Peiros, and many Trojans and Achaeans lie face down in the dust beside each other.

Ἔνθ' ἔβαλ' Ἀνθεμίωνος υἱὸν Τελαμώνιος Αἴας,
Then struck of-Anthemion the-son Telamonian Ajax
ἠΐθεον θαλερὸν Σιμοείσιον, ὅν ποτε μήτηρ
a-youth lusty Simoeisius whom once his-mother
Ἴδηθεν κατιοῦσα παρ' ὄχθῃσιν Σιμόεντος
from-Ida coming-down beside the-banks of-Simoeis
γείνατ', ἐπεί ῥα τοκεῦσιν ἅμ' ἕσπετο μῆλα ἰδέσθαι·
bore when then with-her-parents together she-followed the-flocks to-see
τοὔνεκά μιν κάλεον Σιμοείσιον· οὐδὲ τοκεῦσι
therefore him they-called Simoeisius nor to-his-parents
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
the-return-for-rearing dear did-he-repay short-lived and his life
ἔπλεθ' ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
was under Ajax great-hearted by-the-spear subdued
πρῶτον γάρ μιν ἰόντα βάλε στῆθος παρὰ μαζὸν
first for him going he-struck on-the-chest beside the-breast
δεξιόν· ἀντικρὺ δὲ δι' ὤμου χάλκεον ἔγχος
right straight-through and through the-shoulder the-bronze spear
ἦλθεν· ὁ δ' ἐν κονίῃσι χαμαὶ πέσεν αἴγειρος ὥς,
went he and in the-dust on-the-ground fell a-poplar like

ἥ ῥά τ᾽ ἐν εἰαμενῇ ἕλεος μεγάλοιο πεφύκει
which then — in a-low-meadow of-marsh great has-grown
λείη, ἀτάρ τέ οἱ ὄζοι ἐπ᾽ ἀκροτάτῃ πεφύασι·
smooth but — its branches at the-top grow
τὴν μέν θ᾽ ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ
it indeed — a-chariot-maker man with-gleaming iron
ἐξέταμ᾽, ὄφρα ἴτυν κάμψῃ περικαλλέϊ δίφρῳ·
cut-down so-that a-felloe he-may-bend for-a-very-fair chariot
ἡ μέν τ᾽ ἀζομένη κεῖται ποταμοῖο παρ᾽ ὄχθας.
it indeed — drying lies of-the-river beside the-banks
τοῖον ἄρ᾽ Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξεν
such then the-son-of-Anthemion Simoeisius stripped
Αἴας διογενής· τοῦ δ᾽ Ἄντιφος αἰολοθώρηξ
Ajax Zeus-born at-him and Antiphus with-gleaming-corselet
Πριαμίδης καθ᾽ ὅμιλον ἀκόντισεν ὀξέϊ δουρί.
son-of-Priam through the-throng threw with-sharp spear
τοῦ μὲν ἅμαρθ᾽, ὁ δὲ Λεῦκον, Ὀδυσσέος ἐσθλὸν ἑταῖρον,
him indeed he-missed he and Leucus of-Odysseus noble comrade
βεβλήκει βουβῶνα, νέκυν ἑτέρωσ᾽ ἐρύοντα·
had-struck in-the-groin the-corpse to-the-other-side dragging
ἤριπε δ᾽ ἀμφ᾽ αὐτῷ, νεκρὸς δέ οἱ ἔκπεσε χειρός.
he-fell and over it the-corpse and from-him fell from-the-hand
τοῦ δ᾽ Ὀδυσεὺς μάλα θυμὸν ἀποκταμένοιο χολώθη,
for-him and Odysseus very in-heart slain was-angered
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
went and through the-champions armed with-gleaming bronze

στῆ δὲ μάλ' ἐγγὺς ἰὼν καὶ ἀκόντισε δουρὶ φαεινῷ
stood and very near going and threw with-spear shining
ἀμφὶ ἓ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο
around himself having-glanced from-under and the-Trojans drew-back
ἀνδρὸς ἀκοντίσσαντος· ὁ δ' οὐχ ἅλιον βέλος ἧκεν,
the-man throwing he and not vain the-missile sent
ἀλλ' υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα,
but the-son of-Priam bastard struck Democoon
ὅς οἱ Ἀβυδόθεν ἦλθε, παρ' ἵππων ὠκειάων.
who to-him from-Abydus had-come from horses swift
τόν ῥ' Ὀδυσεὺς ἑτάροιο χολωσάμενος βάλε δουρὶ
him then Odysseus for-his-comrade angered struck with-spear
κόρσην· ἡ δ' ἑτέροιο διὰ κροτάφοιο πέρησεν
on-the-temple it and of-the-other through temple passed
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψε,
the-point bronze him and darkness the-eyes covered
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
he-thudded and falling rattled and the-arms upon him
χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
gave-way and under both the-champions and glorious Hector
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς,
the-Argives and loudly shouted dragged-off and the-corpses
ἴθυσαν δὲ πολὺ προτέρω· νεμέσησε δ' Ἀπόλλων
pressed and far forward was-indignant and Apollo
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ κέκλετ' ἀΰσας·
from-Pergamus looking-down on-the-Trojans and called shouting

"ὄρνυσθ', ἱππόδαμοι Τρῶες, μηδ' εἴκετε χάρμης
rise horse-taming Trojans nor yield from-the-fight
Ἀργείοις, ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος
to-the-Argives since not their stone the-flesh nor iron
χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισιν·
bronze to-withstand flesh-cutting being-struck
οὐ μὰν οὐδ' Ἀχιλεύς, Θέτιδος πάϊς ἠϋκόμοιο,
not indeed not-even Achilles of-Thetis the-son lovely-haired
μάρναται, ἀλλ' ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει."
fights but beside the-ships anger heart-grieving nurses
Ὣς φάτ' ἀπὸ πτόλιος δεινὸς θεός· αὐτὰρ Ἀχαιοὺς
So spoke from the-city the-dread god but the-Achaeans
ὦρσε Διὸς θυγάτηρ κυδίστη Τριτογένεια,
roused of-Zeus daughter most-glorious Trito-born
ἐρχομένη καθ' ὅμιλον, ὅθι μεθιέντα ἴδοιτο.
going through the-throng where slackening she-saw(-them)
Ἔνθ' Ἀμαρυγκείδην Διώρεα μοῖρα πέδησε·
Then the-son-of-Amarynceus Diores fate fettered
χερμαδίῳ γὰρ βλῆτο παρὰ σφυρὸν ὀκριόεντι
with-a-stone for he-was-struck beside the-ankle jagged
κνήμην δεξιτερήν· βάλε δὲ Θρηκῶν ἀγὸς ἀνδρῶν,
on-the-shin right he-struck(-him) and of-the-Thracians the-leader of-men
Πείρως Ἰμβρασίδης, ὃς ἄρ' Αἰνόθεν εἰληλούθει.
Peiros son-of-Imbrasus who then from-Aenus had-come
ἀμφοτέρω δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς
both and the-sinews and bones the-stone shameless
ἄχρις ἀπηλοίησεν· ὁ δ' ὕπτιος ἐν κονίῃσι
utterly crushed he and backward in the-dust
κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας,
fell both hands to-dear comrades stretching-out

θυμὸν ἀποπνείων· ὁ δ' ἐπέδραμεν ὅς ῥ' ἔβαλέν περ,
breath gasping-out he and ran-up who then struck(-him) indeed
Πείρως, οὗτα δὲ δουρὶ παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι
Peiros wounded and with-spear beside the-navel out and then all
χύντο χαμαὶ χολάδες, τὸν δὲ σκότος ὄσσε κάλυψε.
poured on-the-ground the-bowels him and darkness the-eyes covered
Τὸν δὲ Θόας Αἰτωλὸς ἀπεσσύμενον βάλε δουρὶ
Him and Thoas the-Aetolian rushing-away struck with-spear
στέρνον ὑπὲρ μαζοῖο, πάγη δ' ἐν πνεύμονι χαλκός·
in-the-chest above the-breast stuck and in the-lung bronze
ἀγχίμολον δέ οἱ ἦλθε Θόας, ἐκ δ' ὄβριμον ἔγχος
near and to-him came Thoas out and the-mighty spear
ἐσπάσατο στέρνοιο, ἐρύσσατο δὲ ξίφος ὀξύ,
he-drew from-the-chest drew and sword sharp
τῷ ὅ γε γαστέρα τύψε μέσην, ἐκ δ' αἴνυτο θυμόν.
with-it he indeed belly smote in-the-middle out and took life
τεύχεα δ' οὐκ ἀπέδυσε· περίστησαν γὰρ ἑταῖροι
the-arms and not he-stripped-off stood-around for comrades
Θρῄκες ἀκρόκομοι, δολίχ' ἔγχεα χερσὶν ἔχοντες,
Thracians top-knotted long spears in-hands having
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν
who him great though being and mighty and lordly
ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη.
thrust away from-themselves he and having-given-ground was-shaken
ὣς τώ γ' ἐν κονίῃσι παρ' ἀλλήλοισι τετάσθην,
so the-two indeed in the-dust beside each-other were-stretched
ἤτοι ὁ μὲν Θρῃκῶν, ὁ δ' Ἐπειῶν χαλκοχιτώνων,
truly he indeed of-the-Thracians he and of-the-Epeians bronze-coated
ἡγεμόνες· πολλοὶ δὲ περὶ κτείνοντο καὶ ἄλλοι.
leaders many and around were-slain also others

Ἔνθα κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθών,
Then — no-longer the-work a-man would-make-light-of coming-into(-it)
ὅς τις ἔτ᾽ ἄβλητος καὶ ἀνούτατος ὀξέϊ χαλκῷ
who any still unhit and unwounded by-sharp bronze
δινεύοι κατὰ μέσσον, ἄγοι δέ ἑ Παλλὰς Ἀθήνη
should-whirl through the-middle should-lead and him Pallas Athena
χειρὸς ἑλοῦσ᾽, αὐτὰρ βελέων ἀπερύκοι ἐρωήν·
by-the-hand having-taken but of-missiles should-ward-off the-rush
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
many for of-Trojans and of-Achaeans on-day that
πρηνέες ἐν κονίῃσι παρ᾽ ἀλλήλοισι τέταντο.
prone in the-dust beside each-other were-stretched

BOOK V

V.1 · DIOMEDES' VALOR

Athena gives Diomedes strength and daring and makes fire blaze from his helmet like the late-summer star. He kills Phegeus, son of the priest Dares, and Hephaestus saves the other son in darkness. Athena leads Ares out of the battle to sit by the Scamander, and the Achaean leaders each kill a man: Agamemnon Odius, Idomeneus Phaestus, Menelaus the hunter Scamandrius, Meriones Phereclus who built Paris' ships, Meges Pedaeus, and Eurypylus Hypsenor.

Ἔνθ' αὖ Τυδεΐδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
Then in-turn to-the-son-of-Tydeus Diomedes Pallas Athena
δῶκε μένος καὶ θάρσος, ἵν' ἔκδηλος μετὰ πᾶσιν
gave might and boldness so-that conspicuous among all
Ἀργείοισι γένοιτο ἰδὲ κλέος ἐσθλὸν ἄροιτο·
the-Argives he-might-become and glory noble might-win
δαΐέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ,
she-kindled for-him from helmet both and shield tireless fire
ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα
to-the-star of-late-summer like which — most
λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο·
brightly shines having-bathed in-Ocean
τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων,
such for-him fire she-kindled from head both and shoulders
ὦρσε δέ μιν κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο.
she-roused and him into the-middle where most were-thronging
Ἦν δέ τις ἐν Τρώεσσι Δάρης, ἀφνειὸς ἀμύμων,
There-was and a-certain among the-Trojans Dares rich blameless
ἱρεὺς Ἡφαίστοιο· δύω δέ οἱ υἱέες ἦστην,
priest of-Hephaestus two and his sons were

Φηγεὺς Ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης.
Phegeus Idaeus and of-battle well knowing all
τώ οἱ ἀποκρινθέντε ἐναντίω ὁρμηθήτην·
the-two against-him having-separated facing rushed
τὼ μὲν ἀφ' ἵπποιιν, ὁ δ' ἀπὸ χθονὸς ὄρνυτο πεζός.
the-two indeed from the-chariot he and from the-ground rose on-foot
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
they and when indeed near were against each-other going
Φηγεύς ῥα πρότερος προΐει δολιχόσκιον ἔγχος·
Phegeus then first sent-forth long-shadowed spear
Τυδείδεω δ' ὑπὲρ ὦμον ἀριστερὸν ἦλυθ' ἀκωκὴ
of-the-son-of-Tydeus and over shoulder left went the-point
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὁ δ' ὕστερος ὄρνυτο χαλκῷ
of-the-spear nor struck him he and second rose with-bronze
Τυδείδης· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
the-son-of-Tydeus of-him and not vain the-missile escaped from-the-hand
ἀλλ' ἔβαλε στῆθος μεταμάζιον, ὦσε δ' ἀφ' ἵππων.
but struck the-chest between-the-breasts thrust and from the-horses
Ἰδαῖος δ' ἀπόρουσε λιπὼν περικαλλέα δίφρον,
Idaeus and sprang-back leaving very-fair chariot
οὐδ' ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο·
nor dared to-bestride brother slain
οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν,
not-even for not-even — himself would-have-escaped doom black
ἀλλ' Ἥφαιστος ἔρυτο, σάωσε δὲ νυκτὶ καλύψας,
but Hephaestus guarded(-him) saved and with-night covering(-him)
ὡς δή οἱ μὴ πάγχυ γέρων ἀκαχήμενος εἴη.
so-that indeed for-him not wholly the-old-man grieved might-be

ἵππους δ' ἐξελάσας μεγαθύμου Τυδέος υἱὸς
the-horses and having-driven-off of-great-hearted Tydeus the-son
δῶκεν ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
gave(-them) to-the-comrades to-take-down hollow to ships
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ ἴδον υἷε Δάρητος
the-Trojans and great-hearted when they-saw the-sons of-Dares
τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ' ὄχεσφι,
the-one indeed fleeing the-other and slain beside the-chariot
πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ γλαυκῶπις Ἀθήνη
of-all was-stirred the-heart but flashing-eyed Athena
χειρὸς ἑλοῦσ' ἐπέεσσι προσηύδα θοῦρον Ἄρηα·
by-the-hand having-taken with-words addressed furious Ares
"Ἄρες Ἄρες βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα,
Ares Ares man-destroying blood-stained stormer-of-walls
οὐκ ἂν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς
not — indeed the-Trojans indeed should-we-let and the-Achaeans
μάρνασθ', ὁππότεροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ,
fight to-whichever the-father Zeus glory may-grant
νῶϊ δὲ χαζώμεσθα, Διὸς δ' ἀλεώμεθα μῆνιν;"
we-two and let-us-withdraw of-Zeus and let-us-shun the-wrath
Ὣς εἰποῦσα μάχης ἐξήγαγε θοῦρον Ἄρηα·
So having-spoken from-battle she-led-out furious Ares
τὸν μὲν ἔπειτα καθεῖσεν ἐπ' ἠϊόεντι Σκαμάνδρῳ,
him indeed then she-seated on sandy-banked Scamander
Τρῶας δ' ἔκλιναν Δαναοί· ἕλε δ' ἄνδρα ἕκαστος
the-Trojans and turned the-Danaans took and a-man each
ἡγεμόνων· πρῶτος δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων
of-the-leaders first and lord of-men Agamemnon
ἀρχὸν Ἁλιζώνων Ὀδίον μέγαν ἔκβαλε δίφρου·
the-leader of-the-Halizones Odius great cast-out from-the-chariot

πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
first for turned the-back in a-spear he-fixed
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε,
the-shoulders between through and the-chest he-drove(-it)
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
he-thudded and falling rattled and the-arms upon him
Ἰδομενεὺς δ' ἄρα Φαίστον ἐνήρατο Μήονος υἱὸν
Idomeneus and then Phaestus slew of-the-Maeonian the-son
Βώρου, ὃς ἐκ Τάρνης ἐριβώλακος εἰληλούθει.
of-Borus who from Tarne deep-soiled had-come
τὸν μὲν ἄρ' Ἰδομενεὺς δουρικλυτὸς ἔγχεϊ μακρῷ
him indeed then Idomeneus spear-famed with-spear long
νύξ' ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον·
pierced the-horses about-to-mount on right shoulder
ἤριπε δ' ἐξ ὀχέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλε.
he-fell and from the-chariot hateful and then him darkness seized
Τὸν μὲν ἄρ' Ἰδομενῆος ἐσύλευον θεράποντες·
Him indeed then of-Idomeneus stripped the-attendants
υἱὸν δὲ Στροφίοιο Σκαμάνδριον, αἴμονα θήρης,
the-son and of-Strophius Scamandrius skilled of-the-chase
Ἀτρεΐδης Μενέλαος ἕλ' ἔγχεϊ ὀξυόεντι,
the-son-of-Atreus Menelaus took with-spear sharp
ἐσθλὸν θηρητῆρα· δίδαξε γὰρ Ἄρτεμις αὐτὴ
a-noble hunter taught(-him) for Artemis herself
βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη·
to-strike wild-things all which — rears in-mountains the-forest
ἀλλ' οὔ οἱ τότε γε χραῖσμ' Ἄρτεμις ἰοχέαιρα,
but not him then indeed availed Artemis arrow-pouring
οὐδὲ ἑκηβολίαι, ἦσιν τὸ πρίν γ' ἐκέκαστο·
nor the-far-shootings in-which the before indeed he-excelled

ἀλλά μιν Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος
but him the-son-of-Atreus spear-famed Menelaus
πρόσθεν ἑθεν φεύγοντα μετάφρενον οὔτασε δουρὶ
before himself fleeing in-the-back wounded with-spear
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν,
the-shoulders between through and the-chest he-drove(-it)
ἤριπε δὲ πρηνής, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
he-fell and prone rattled and the-arms upon him
Μηριόνης δὲ Φέρεκλον ἐνήρατο, τέκτονος υἱὸν
Meriones and Phereclus slew of-the-craftsman the-son
Ἁρμονίδεω, ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα
of-the-son-of-Harmon who with-hands knew intricate-things all
τεύχειν· ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη·
to-make exceedingly for him loved Pallas Athena
ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας
who also for-Alexander built ships balanced
ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο
source-of-evils which to-all an-evil to-the-Trojans became
οἵ τ' αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα ᾔδη.
to-him and himself since not at-all of-the-gods from the-oracles he-knew
τὸν μὲν Μηριόνης, ὅτε δὴ κατέμαρπτε διώκων,
him indeed Meriones when indeed he-overtook(-him) pursuing
βεβλήκει γλουτὸν κατὰ δεξιόν· ἡ δὲ διαπρὸ
struck the-buttock in right it and right-through
ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή·
straight-on to the-bladder under the-bone went the-point
γνὺξ δ' ἔριπ' οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψε.
on-his-knees and he-fell groaning death and him enveloped

Πήδαιον δ' ἄρ' ἔπεφνε Μέγης, Ἀντήνορος υἱόν,
Pedaeus and then killed Meges of-Antenor son
ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ
who then bastard indeed was carefully and reared(-him) noble Theano
ἶσα φίλοισι τέκεσσι, χαριζομένη πόσεϊ ᾧ.
equally with-dear children pleasing husband her-own
τὸν μὲν Φυλεΐδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν
him indeed the-son-of-Phyleus spear-famed near coming
βεβλήκει κεφαλῆς κατὰ ἰνίον ὀξέϊ δουρί·
struck of-the-head at the-nape with-sharp spear
ἀντικρὺ δ' ἀν' ὀδόντας ὑπὸ γλῶσσαν τάμε χαλκός·
straight-on and through the-teeth under the-tongue cut bronze
ἤριπε δ' ἐν κονίῃ, ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν.
he-fell and in the-dust cold and he-seized bronze with-the-teeth
Εὐρύπυλος δ' Εὐαιμονίδης Ὑψήνορα δῖον,
Eurypylus and son-of-Euaemon Hypsenor noble
υἱὸν ὑπερθύμου Δολοπίονος, ὅς ῥα Σκαμάνδρου
son of-high-hearted Dolopion who then of-Scamander
ἀρητὴρ ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμῳ,
priest had-been-made a-god and like was-honored by-the-people
τὸν μὲν ἄρ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός,
him indeed then Eurypylus of-Euaemon glorious son
πρόσθεν ἑθὲν φεύγοντα μεταδρομάδην ἔλασ' ὦμον
before himself fleeing running-after struck the-shoulder
φασγάνῳ ἀΐξας, ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν·
with-the-sword darting away and lopped the-arm heavy
αἱματόεσσα δὲ χεὶρ πεδίῳ πέσε· τὸν δὲ κατ' ὄσσε
bloody and the-arm on-the-plain fell him and down the-eyes
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
seized dark death and fate strong

Diomedes sweeps over the plain like a river in winter flood. Pandarus shoots him through the right shoulder and boasts that he will not last long. Sthenelus draws out the arrow, and Diomedes prays to Athena, who lifts the mist from his eyes so that he can tell gods from men. She tells him to fight no god but Aphrodite. Three times fiercer than before, like a lion wounded but not stopped, he kills Astynous, Hypeiron, the sons of Eurydamas and of Phaenops, and two sons of Priam.

Ὣς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην·
So they indeed toiled through mighty combat
Τυδεΐδην δ' οὐκ ἂν γνοίης ποτέροισι μετείη,
the-son-of-Tydeus and not — you-would-know with-which-side he-was
ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι ἦ μετ' Ἀχαιοῖς.
whether among the-Trojans he-consorted or among the-Achaeans
θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ἐοικὼς
he-raged for over the-plain to-a-river in-flood like
χειμάρρῳ, ὅς τ' ὦκα ῥέων ἐκέδασσε γεφύρας·
winter-torrent which — quickly flowing scatters the-dikes
τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν,
it and neither then — the-dikes fenced restrain
οὔτ' ἄρα ἕρκεα ἴσχει ἀλωάων ἐριθηλέων
nor then the-walls hold of-the-orchards flourishing
ἐλθόντ' ἐξαπίνης, ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος·
coming suddenly when presses-heavily of-Zeus the-rain
πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε κάλ' αἰζηῶν·
many and under it works fall fair of-young-men
ὣς ὑπὸ Τυδεΐδῃ πυκιναὶ κλονέοντο φάλαγγες
so under the-son-of-Tydeus the-close were-thrown-into-confusion ranks
Τρώων, οὐδ' ἄρα μιν μίμνον πολέες περ ἐόντες.
of-the-Trojans nor then him did-they-await many though being

Τὸν δ' ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς
Him and when then noticed of-Lycaon glorious son
θύνοντ' ἂμ πεδίον πρὸ ἕθεν κλονέοντα φάλαγγας,
raging over the-plain before himself driving the-ranks
αἶψ' ἐπὶ Τυδεΐδῃ ἐτιταίνετο καμπύλα τόξα,
quickly at the-son-of-Tydeus he-stretched curved bow
καὶ βάλ' ἐπαΐσσοντα τυχὼν κατὰ δεξιὸν ὦμον,
and struck(-him) darting-on hitting(-him) on right shoulder
θώρηκος γύαλον· διὰ δ' ἔπτατο πικρὸς ὀϊστός,
of-the-corselet the-plate through and flew the-bitter arrow
ἀντικρὺ δὲ διέσχε, παλάσσετο δ' αἵματι θώρηξ.
straight-on and passed-through was-spattered and with-blood the-corselet
τῷ δ' ἐπὶ μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός·
him and over loudly shouted of-Lycaon glorious son
"ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων·
rise Trojans great-hearted goaders of-horses
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ ἑ φημι
is-struck for the-best of-the-Achaeans nor him I-say
δήθ' ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
long will-endure the-strong shaft if truly me
ὦρσεν ἄναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν."
roused the-lord of-Zeus son setting-out from-Lycia
Ὣς ἔφατ' εὐχόμενος· τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν,
So he-spoke boasting him and not the-shaft swift subdued
ἀλλ' ἀναχωρήσας πρόσθ' ἵπποιιν καὶ ὄχεσφιν
but having-withdrawn before the-horses and the-chariot
ἔστη, καὶ Σθένελον προσέφη, Καπανῆϊον υἱόν·
he-stood and Sthenelus addressed of-Capaneus son

"ὄρσο, πέπον Καπανηϊάδη, καταβήσεο δίφρου,
rise friend son-of-Capaneus come-down from-the-chariot
ὄφρα μοι ἐξ ὤμοιο ἐρύσσῃς πικρὸν ὀϊστόν." 110
so-that for-me from the-shoulder you-may-draw the-bitter arrow
Ὣς ἄρ' ἔφη, Σθένελος δὲ καθ' ἵππων ἅλτο χαμᾶζε,
So then he-spoke Sthenelus and from the-horses leapt to-the-ground
πὰρ δὲ στὰς βέλος ὠκὺ διαμπερὲς ἐξέρυσ' ὤμου·
beside and standing the-shaft swift right-through drew-out from-the-shoulder
αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.
the-blood and spurted through twisted tunic
δὴ τότ' ἔπειτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
indeed then then prayed at-the-war-cry good Diomedes
"κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη, 115
hear me of-aegis-bearing Zeus child Unwearied-one
εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
if ever to-me and to-father kindly minded you-stood-by
δηΐῳ ἐν πολέμῳ, νῦν αὖτ' ἐμὲ φῖλαι, Ἀθήνη·
hostile in war now in-turn me love Athena
δὸς δέ τέ μ' ἄνδρα ἑλεῖν καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν,
grant and — me the-man to-take and into the-onset of-the-spear to-come
ὅς μ' ἔβαλε φθάμενος καὶ ἐπεύχεται, οὐδέ μέ φησι
who me struck being-first and boasts nor me he-says
δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο." 120
long still to-see the-bright light of-the-sun
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη,
So he-spoke praying him and heard Pallas Athena
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν·
limbs and made light the-feet and hands above
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed

"θαρσῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεσσι μάχεσθαι·
taking-courage now Diomedes against the-Trojans fight
ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἧκα
in for to-you breast the-might of-your-father I-sent
ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς·
fearless such-as he-had shield-wielding horseman Tydeus
ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
the-mist and in-turn for-you from the-eyes I-took which before was-on(-them)
ὄφρ' εὖ γιγνώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
so-that well you-may-know both god and also man
τῶ νῦν, αἴ κε θεὸς πειρώμενος ἐνθάδ' ἵκηται,
therefore now if — a-god making-trial here comes
μή τι σύ γ' ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθαι
not at-all you indeed with-the-immortal gods face-to-face fight
τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
the others but if — of-Zeus daughter Aphrodite
ἔλθῃσ' ἐς πόλεμον, τήν γ' οὐτάμεν ὀξέϊ χαλκῷ."
should-come into war her indeed wound with-sharp bronze
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
She indeed then so having-spoken departed flashing-eyed Athena
Τυδεΐδης δ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη,
the-son-of-Tydeus and again going with-the-champions mingled
καὶ πρίν περ θυμῷ μεμαὼς Τρώεσσι μάχεσθαι·
even before though in-heart eager with-the-Trojans to-fight
δὴ τότε μιν τρὶς τόσσον ἔλεν μένος, ὥς τε λέοντα,
indeed then him thrice as-much seized might as — a-lion
ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοις ὀΐεσσι
whom then — a-shepherd in-the-field over fleecy sheep
χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον οὐδὲ δαμάσσῃ·
grazes indeed — the-fold leaping-over nor subdues

τοῦ μέν τε σθένος ὦρσεν, ἔπειτα δέ τ' οὐ προσαμύνει,
of-it indeed — the-strength he-roused then and — not he-defends(-them)
ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ' ἐρῆμα φοβεῖται·
but among the-steadings he-slinks they and deserted flee
αἱ μέν τ' ἀγχιστῖναι ἐπ' ἀλλήλῃσι κέχυνται,
they indeed — crowded on each-other are-heaped
αὐτὰρ ὁ ἐμμεμαὼς βαθέης ἐξάλλεται αὐλῆς·
but he raging from-the-deep leaps-out fold
ὣς μεμαὼς Τρώεσσι μίγη κρατερὸς Διομήδης.
so raging with-the-Trojans mingled mighty Diomedes
Ἔνθ' ἕλεν Ἀστύνοον καὶ Ὑπείρονα, ποιμένα λαῶν,
Then he-took Astynous and Hypeiron shepherd of-the-people
τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί,
the-one indeed above the-breast striking with-bronze-tipped spear
τὸν δ' ἕτερον ξίφεϊ μεγάλῳ κληῖδα παρ' ὦμον
the and other-one with-sword great on-the-collar-bone beside the-shoulder
πλῆξ', ἀπὸ δ' αὐχένος ὦμον ἐέργαθεν ἠδ' ἀπὸ νώτου.
he-struck from and the-neck the-shoulder he-cut-off and from the-back
τοὺς μὲν ἔασ', ὁ δ' Ἄβαντα μετῴχετο καὶ Πολύιδον,
them indeed he-left he and Abas went-after and Polyidus
υἱέας Εὐρυδάμαντος, ὀνειροπόλοιο γέροντος·
the-sons of-Eurydamas dream-interpreting old-man
τοῖς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνατ' ὀνείρους,
for-them not going the old-man interpreted dreams
ἀλλά σφεας κρατερὸς Διομήδης ἐξενάριξε·
but them mighty Diomedes stripped
βῆ δὲ μετὰ Ξάνθον τε Θόωνά τε, Φαίνοπος υἷε,
he-went and after Xanthus both Thoon and of-Phaenops sons
ἄμφω τηλυγέτω· ὁ δὲ τείρετο γήραϊ λυγρῷ,
both late-born he and was-worn with-old-age grievous

υἱὸν δ᾽ οὐ τέκετ᾽ ἄλλον ἐπὶ κτεάτεσσι λιπέσθαι.
a-son and not he-begot other over the-possessions to-leave
ἔνθ᾽ ὅ γε τοὺς ἐνάριζε, φίλον δ᾽ ἐξαίνυτο θυμὸν
there he indeed them stripped dear and he-took-away life
ἀμφοτέρω, πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ
both for-the-father and lamentation and sorrows grievous
λεῖπ᾽, ἐπεὶ οὐ ζώοντε μάχης ἐκ νοστήσαντε
he-left since not living from-battle out having-returned
δέξατο· χηρωσταὶ δὲ διὰ κτῆσιν δατέοντο.
he-received(-them) distant-heirs and among property divided
Ἔνθ᾽ υἷας Πριάμοιο δύω λάβε Δαρδανίδαο
Then sons of-Priam two he-took of-the-son-of-Dardanus
εἰν ἑνὶ δίφρῳ ἐόντας, Ἐχέμμονά τε Χρομίον τε.
in one chariot being Echemmon both Chromius and
ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξῃ
as and a-lion among cattle leaping off the-neck breaks
πόρτιος ἠὲ βοός, ξύλοχον κάτα βοσκομενάων,
of-a-heifer or of-a-cow the-thicket in grazing
ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
so them both from the-horses of-Tydeus the-son
βῆσε κακῶς ἀέκοντας, ἔπειτα δὲ τεύχε᾽ ἐσύλα·
thrust evilly unwilling then and the-arms stripped
ἵππους δ᾽ οἷς ἑτάροισι δίδου μετὰ νῆας ἐλαύνειν.
the-horses and to-his-own comrades gave to the-ships to-drive

Aeneas finds Pandarus and urges him to shoot the man who is wrecking the Trojan ranks. Pandarus says it is Diomedes or a god, and regrets leaving his chariots at home and trusting a bow that has only drawn blood from two chieftains; he vows to burn it if he ever returns. Aeneas takes him into his chariot behind his Trojan horses, with Pandarus to fight and Aeneas to drive. Sthenelus sees them coming and urges Diomedes to give way.

Τὸν δ' ἴδεν Αἰνείας ἀλαπάζοντα στίχας ἀνδρῶν,
Him and saw Aeneas destroying the-ranks of-men
βῆ δ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων
went and to-go through both the-battle and through the-tumult of-spears
Πάνδαρον ἀντίθεον διζήμενος, εἴ που ἐφεύροι·
Pandarus godlike seeking if anywhere he-might-find(-him)
εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε,
he-found of-Lycaon the-son blameless both mighty and
στῆ δὲ πρόσθ' αὐτοῖο ἔπος τέ μιν ἀντίον ηὔδα· 170
he-stood and before him word and him face-to-face spoke
"Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀϊστοὶ
Pandarus where your bow and winged arrows
καὶ κλέος; ᾧ οὔ τίς τοι ἐρίζεται ἐνθάδε γ' ἀνήρ,
and fame in-which not anyone with-you vies here indeed a-man
οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται εἶναι ἀμείνων.
nor anyone in Lycia than-you indeed boasts to-be better
ἀλλ' ἄγε τῷδ' ἔφες ἀνδρὶ βέλος, Διὶ χεῖρας ἀνασχών,
but come at-this let-fly at-the-man a-shaft to-Zeus hands raising
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε 175
who any this prevails and indeed evils many has-done
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσεν·
to-the-Trojans since of-many both and noble the-knees he-has-loosed

εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν
if not some god it-is angered at-the-Trojans
ἱρῶν μηνίσας· χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις."
over-sacrifices wrathful harsh and of-a-god upon(-us) the-wrath
Τὸν δ' αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
Him and in-turn addressed of-Lycaon glorious son
"Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Aeneas of-the-Trojans counselor bronze-coated
Τυδεΐδῃ μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω,
to-the-son-of-Tydeus him I-indeed wise all liken
ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείῃ,
by-the-shield knowing(-him) by-the-crested and helmet
ἵππους τ' εἰσορόων· σάφα δ' οὐκ οἶδ' εἰ θεός ἐστιν.
the-horses and looking-at clearly but not I-know if a-god he-is
εἰ δ' ὅ γ' ἀνὴρ ὃν φημι, δαΐφρων Τυδέος υἱός,
if and he indeed the-man whom I-say wise of-Tydeus son
οὐχ ὅ γ' ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
not he indeed without a-god thus rages but someone near
ἕστηκ' ἀθανάτων, νεφέλῃ εἰλυμένος ὤμους,
stands of-the-immortals in-cloud wrapped as-to-the-shoulders
ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.
who of-this-man's shaft swift reaching(-him) turned elsewhere
ἤδη γάρ οἱ ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
already for at-him I-let-fly a-shaft and him struck on-the-shoulder
δεξιὸν ἀντικρὺ διὰ θώρηκος γυάλοιο·
right straight-through through the-corselet the-plate
καί μιν ἔγωγ' ἐφάμην Ἀϊδωνῆϊ προϊάψειν,
and him I-indeed thought to-Aidoneus to-hurl
ἔμπης δ' οὐκ ἐδάμασσα· θεός νύ τίς ἐστι κοτήεις.
yet and not I-subdued(-him) a-god now some is angered

ἵπποι δ᾽ οὐ παρέασι καὶ ἅρματα, τῶν κ᾽ ἐπιβαίην·
horses and not are-at-hand and chariots on-which — I-might-mount
ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
but somewhere in halls of-Lycaon eleven chariots
καλοὶ πρωτοπαγεῖς νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
fair newly-built newly-made around and cloths
πέπτανται· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι
are-spread beside and them by-each pair-yoked horses
ἑστᾶσι κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.
stand barley white cropping and spelt
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
truly indeed to-me very many-things the-old-man spearman Lycaon
ἐρχομένῳ ἐπέτελλε δόμοις ἔνι ποιητοῖσιν·
at-my-going enjoined the-house in well-built
ἵπποισίν με κέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
with-horses me he-bade and with-chariots mounted
ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας·
to-lead the-Trojans through mighty combats
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην — ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν —
but I not obeyed truly — — much more-profitable it-were
ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς
the-horses sparing lest to-me they-should-lack fodder
ἀνδρῶν εἰλομένων, εἰωθότες ἔδμεναι ἄδην.
men being-penned used to-eat their-fill
ὣς λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα
so I-left(-them) but on-foot to Ilium I-have-come
τόξοισιν πίσυνος· τὰ δέ μ᾽ οὐκ ἄρ᾽ ἔμελλον ὀνήσειν.
in-bows trusting they and me not then were-going to-profit
ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα,
already for at-two chieftains I-have-let-fly

Τυδείδῃ τε καὶ Ἀτρείδῃ, ἐκ δ' ἀμφοτέροιιν
at-the-son-of-Tydeus both and at-the-son-of-Atreus from and both
ἀτρεκὲς αἶμ' ἔσσευα βαλών, ἤγειρα δὲ μᾶλλον.
real blood I-drew having-struck(-them) I-roused and the-more
τῶ ῥα κακῇ αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα
therefore then with-evil fate from the-peg the-curved bow
ἤματι τῷ ἑλόμην ὅτε Ἴλιον εἰς ἐρατεινὴν
on-day that I-took(-them) when Ilium to lovely
ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
I-led the-Trojans bringing a-favor to-Hector noble
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσι
if and — I-return and look-upon with-eyes
πατρίδ' ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα,
native-land my wife both and high-roofed great house
αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
at-once then from me the-head may-cut a-stranger man
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην
if not I these bows shining in fire put
χερσὶ διακλάσσας· ἀνεμώλια γάρ μοι ὀπηδεῖ."
with-hands having-broken windy for to-me they-attend
Τὸν δ' αὖτ' Αἰνείας Τρώων ἀγὸς ἀντίον ηὔδα·
Him and in-turn Aeneas of-the-Trojans leader in-reply spoke
"μὴ δὴ οὕτως ἀγόρευε· πάρος δ' οὐκ ἔσσεται ἄλλως,
not indeed so speak before and not it-will-be otherwise
πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρὶ σὺν ἵπποισιν καὶ ὄχεσφιν
before indeed against we-two this man with horses and chariots
ἀντιβίην ἐλθόντε σὺν ἔντεσι πειρηθῆναι.
face-to-face having-gone with arms to-make-trial

ἀλλ᾽ ἄγ᾽ ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι
but come my chariot mount so-that you-may-see
οἷοι Τρώϊοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
of-what-sort the-Trojan horses knowing of-the-plain
κραιπνὰ μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι·
swiftly very here and there to-pursue and to-flee
τὼ καὶ νῶϊ πόλινδε σαώσετον, εἴ περ ἂν αὖτε
they also us-two to-the-city will-save if indeed — again
Ζεὺς ἐπὶ Τυδεΐδῃ Διομήδεϊ κῦδος ὀρέξῃ.
Zeus to the-son-of-Tydeus Diomedes glory grant
ἀλλ᾽ ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα
but come now the-whip and the-reins glossy
δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι·
take I and from-the-horses will-dismount so-that I-may-fight
ἠὲ σὺ τόνδε δέδεξο, μελήσουσιν δ᾽ ἐμοὶ ἵπποι.᾽᾽
or you him await will-be-a-care and to-me the-horses
Τὸν δ᾽ αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
Him and in-turn addressed of-Lycaon glorious son
᾽᾽Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ᾽ ἡνία καὶ τεὼ ἵππω·
Aeneas you indeed yourself hold the-reins and your horses
μᾶλλον ὑφ᾽ ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
better under charioteer accustomed the-curved chariot
οἴσετον, εἴ περ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν·
they-will-carry if indeed — again we-flee of-Tydeus the-son
μὴ τὼ μὲν δείσαντε ματήσετον, οὐδ᾽ ἐθέλητον
lest they indeed frightened hang-back nor are-willing
ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε,
to-carry(-us) from-war your voice missing

νῶϊ δ' ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς
us-two and having-sprung-on great-hearted of-Tydeus son
αὐτώ τε κτείνῃ καὶ ἐλάσσῃ μώνυχας ἵππους.
us-ourselves both he-kill and drive-off the-single-hoofed horses
ἀλλὰ σύ γ' αὐτὸς ἔλαυνε τέ᾽ ἅρματα καὶ τεὼ ἵππω,
but you indeed yourself drive your chariots and your horses
τόνδε δ' ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί."
him and I coming-on will-receive with-sharp spear
Ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες,
So then having-spoken into chariots inlaid having-gone
ἐμμεμαῶτ' ἐπὶ Τυδεΐδῃ ἔχον ὠκέας ἵππους.
eager at the-son-of-Tydeus they-held the-swift horses
τοὺς δὲ ἴδε Σθένελος, Καπανήϊος ἀγλαὸς υἱός,
them and saw Sthenelus of-Capaneus glorious son
αἶψα δὲ Τυδεΐδην ἔπεα πτερόεντα προσηύδα·
quickly and the-son-of-Tydeus words winged addressed
"Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
son-of-Tydeus Diomedes my dear to-heart
ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
two-men I-see mighty at you eager to-fight
ἶν' ἀπέλεθρον ἔχοντας· ὁ μὲν τόξων ἐῢ εἰδώς,
strength infinite having he indeed of-bows well knowing
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι·
Pandarus son and in-turn of-Lycaon boasts to-be
Αἰνείας δ' υἱὸς μὲν ἀμύμονος Ἀγχίσαο
Aeneas and son indeed of-blameless Anchises
εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἱ ἐστ' Ἀφροδίτη.
boasts to-be-born mother and his is Aphrodite

ἀλλ᾽ ἄγε δὴ χαζώμεθ᾽ ἐφ᾽ ἵππων, μηδέ μοι οὕτω
but come indeed let-us-give-way on the-horses nor to-me so
θῦνε διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς.᾽᾽ 250
rage through the-champions lest somehow dear heart you-lose

V.4 · PANDARUS KILLED, AENEAS WOUNDED

Diomedes refuses to retreat and tells Sthenelus to seize Aeneas' horses, the breed Zeus gave to Tros for Ganymede. Pandarus' spear pierces Diomedes' shield and he boasts that he has struck him through the flank. Diomedes' spear, guided by Athena, goes through his face, and he falls dead from the chariot. Aeneas bestrides the body, and Diomedes crushes his hip with a stone that two men today could not lift. He would have died there had his mother Aphrodite not wrapped him in her arms and robe.

Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
Him and then from-under looking addressed mighty Diomedes
᾽᾽μή τι φόβονδ᾽ ἀγόρευ᾽, ἐπεὶ οὐδέ σε πεισέμεν οἴω.
not at-all toward-flight speak since not-even you to-persuade(-me) I-think
οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι
not for to-me noble shrinking to-fight
οὐδὲ καταπτώσσειν· ἔτι μοι μένος ἔμπεδόν ἐστιν·
nor to-cower still to-me the-might steadfast is
ὀκνείω δ᾽ ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτως 255
I-shrink and the-horses to-mount but even as-I-am
ἀντίον εἶμ᾽ αὐτῶν· τρεῖν μ᾽ οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.
facing I-go them to-flee me not allows Pallas Athena
τούτω δ᾽ οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι
these-two and not back again shall-carry-away swift horses
ἄμφω ἀφ᾽ ἡμείων, εἴ γ᾽ οὖν ἕτερός γε φύγῃσιν.
both from us if indeed then one indeed escape

ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
another and to-you I-will-say you and in mind lay(-it) your
αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
if — to-me much-counseling Athena glory grant
ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
both to-kill you and these indeed swift horses
αὐτοῦ ἐρυκακέειν ἐξ ἄντυγος ἡνία τείνας,
there hold-back from the-rail the-reins stretching
Αἰνείαο δ' ἐπαΐξαι μεμνημένος ἵππων,
of-Aeneas and to-rush-at being-mindful the-horses
ἐκ δ' ἐλάσαι Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
out and to-drive(-them) from-the-Trojans toward well-greaved Achaeans
τῆς γάρ τοι γενεῆς, ἣς Τρωΐ περ εὐρύοπα Ζεὺς
of-that for you-know breed of-which to-Tros indeed far-seeing Zeus
δῶχ' υἷος ποινὴν Γανυμήδεος, οὕνεκ' ἄριστοι
gave(-them) for-his-son as-recompense for-Ganymede because best
ἵππων, ὅσσοι ἔασιν ὑπ' ἠῶ τ' ἠέλιόν τε,
of-horses as-many-as are beneath dawn both sun and
τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίσης,
from-that breed stole lord of-men Anchises
λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους·
secretly from-Laomedon putting-under(-them) female horses
τῶν οἱ ἓξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλη.
of-them to-him six were-born in halls as-offspring
τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ,
them indeed four himself keeping reared at the-manger
τὼ δὲ δύ' Αἰνείᾳ δῶκεν, μήστωρε φόβοιο.
the and two to-Aeneas gave devisers of-rout
εἰ τούτω κε λάβοιμεν, ἀροίμεθά κε κλέος ἐσθλόν."
if these-two — we-should-take we-would-win — fame noble

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
τὼ δὲ τάχ' ἐγγύθεν ἦλθον ἐλαύνοντ' ὠκέας ἵππους.
the-two and soon near came driving swift horses
τὸν πρότερος προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
him first addressed of-Lycaon glorious son
"καρτερόθυμε, δαΐφρον, ἀγαυοῦ Τυδέος υἱέ,
stout-hearted wise of-lordly Tydeus son
ἦ μάλα σ' οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς ὀϊστός·
truly indeed you not the-shaft swift subdued the-bitter arrow
νῦν αὖτ' ἐγχείῃ πειρήσομαι, αἴ κε τύχωμι."
now in-turn with-the-spear I-will-try if — I-hit(-you)
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος
He-spoke then and having-poised sent-forth long-shadowed spear
καὶ βάλε Τυδεΐδαο κατ' ἀσπίδα· τῆς δὲ διαπρὸ
and struck of-the-son-of-Tydeus on shield of-it and right-through
αἰχμὴ χαλκείη πταμένη θώρηκι πελάσθη·
the-point bronze flying to-the-corselet came-near
τῷ δ' ἐπὶ μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός·
him and over loudly shouted of-Lycaon glorious son
"βέβληαι κενεῶνα διαμπερές, οὐδέ σ' ὀΐω
you-are-struck in-the-flank right-through nor you I-think
δηρὸν ἔτ' ἀνσχήσεσθαι· ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκας."
long still to-hold-out to-me and great a-boast you-have-given
Τὸν δ' οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης·
Him and not afraid addressed mighty Diomedes
"ἤμβροτες οὐδ' ἔτυχες· ἀτὰρ οὐ μὲν σφῶΐ γ' ὀΐω
you-missed nor hit but not indeed you-two indeed I-think
πρίν γ' ἀποπαύσεσθαι, πρίν γ' ἢ ἑτέρόν γε πεσόντα
before indeed to-cease before indeed than one indeed fallen

αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.”
with-blood to-glut Ares the-shield-bearing warrior

Ὣς φάμενος προέηκε· βέλος δ’ ἴθυνεν Ἀθήνη
So saying he-sent-forth the-shaft and guided Athena

ῥῖνα παρ’ ὀφθαλμόν, λευκοὺς δ’ ἐπέρησεν ὀδόντας.
to-the-nose beside the-eye white and it-pierced the-teeth

τοῦ δ’ ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε χαλκὸς ἀτειρής,
of-him and off indeed the-tongue at-the-root cut bronze unwearying

αἰχμὴ δ’ ἐξελύθη παρὰ νείατον ἀνθερεῶνα·
the-point and came-out beside the-lowest chin

ἤριπε δ’ ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε’ ἐπ’ αὐτῷ
he-fell and from the-chariot rattled and the-arms upon him

αἰόλα παμφανόωντα, παρέτρεσσαν δέ οἱ ἵπποι
gleaming all-shining swerved-aside and his horses

ὠκύποδες· τοῦ δ’ αὖθι λύθη ψυχή τε μένος τε.
swift-footed of-him and there were-loosed soul both might and

Αἰνείας δ’ ἀπόρουσε σὺν ἀσπίδι δουρί τε μακρῷ,
Aeneas and sprang-down with shield spear and long

δείσας μή πώς οἱ ἐρυσαίατο νεκρὸν Ἀχαιοί.
fearing lest somehow from-him might-drag the-corpse the-Achaeans

ἀμφὶ δ’ ἄρ’ αὐτῷ βαῖνε λέων ὣς ἀλκὶ πεποιθώς,
around and then him he-strode a-lion like in-strength trusting

πρόσθε δέ οἱ δόρυ τ’ ἔσχε καὶ ἀσπίδα πάντοσ’ ἐΐσην,
before and it the-spear both he-held and shield on-every-side balanced

τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ’ ἀντίος ἔλθοι,
him to-kill eager who any him indeed against should-come

σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ
terribly shouting he and a-stone took in-hand

Τυδεΐδης, μέγα ἔργον, ὃ οὐ δύο γ’ ἄνδρε φέροιεν,
the-son-of-Tydeus a-great thing which not two indeed men could-carry

οἷοι νῦν βροτοί εἰσ᾽· ὁ δέ μιν ῥέα πάλλε καὶ οἷος.
such-as now mortals are he and it easily brandished even alone
τῷ βάλεν Αἰνείαο κατ᾽ ἰσχίον, ἔνθα τε μηρὸς
with-it he-struck of-Aeneas on hip where — the-thigh
ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τέ μιν καλέουσι·
in-the-hip turns cup and — it they-call
θλάσσε δέ οἱ κοτύλην, πρὸς δ᾽ ἄμφω ῥῆξε τένοντε·
he-crushed and his cup besides and both he-broke sinews
ὦσε δ᾽ ἀπὸ ῥινὸν τρηχὺς λίθος· αὐτὰρ ὅ γ᾽ ἥρως
thrust and off the-skin the-jagged stone but he indeed the-hero
ἔστη γνὺξ ἐριπὼν καὶ ἐρείσατο χειρὶ παχείῃ
stood on-his-knee falling and leaned with-hand stout
γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε.
on-the-earth around and the-eyes black night covered

Καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας,
And now — there would-have-perished lord of-men Aeneas
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη,
if not then keenly noticed of-Zeus daughter Aphrodite
μήτηρ, ἥ μιν ὑπ᾽ Ἀγχίσῃ τέκε βουκολέοντι·
mother who him to Anchises bore tending-cattle
ἀμφὶ δ᾽ ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ,
around and her-own dear son she-poured arms white
πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμ᾽ ἐκάλυψεν,
before and him of-the-robe shining a-fold she-covered
ἔρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων
a-fence to-be from-missiles lest any of-the-Danaans of-swift-horses
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο.
bronze in breast casting out life might-take

Sthenelus drives off Aeneas' horses. Diomedes, knowing Aphrodite for a weak goddess, pursues her and wounds her wrist, and her ichor flows. She drops Aeneas, whom Apollo hides in a cloud, and Diomedes taunts her to keep away from war. Iris leads her off, and Ares lends her his chariot to Olympus, where she falls weeping into her mother Dione's lap. Dione comforts her with the sufferings of Ares, Hera, and Hades at men's hands, and warns that a man who fights the gods does not live long.

Ἡ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο·
She indeed her-own dear son was-carrying-out-of war
οὐδ' υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων
nor the-son of-Capaneus forgot the-agreements
τάων ἃς ἐπέτελλε βοὴν ἀγαθὸς Διομήδης,
those which enjoined at-the-war-cry good Diomedes
ἀλλ' ὅ γε τοὺς μὲν ἑοὺς ἠρύκακε μώνυχας ἵππους
but he indeed his indeed own held-back single-hoofed horses
νόσφιν ἀπὸ φλοίσβου, ἐξ ἄντυγος ἡνία τείνας,
apart from the-din from the-rail the-reins stretching
Αἰνείαο δ' ἐπαΐξας καλλίτριχας ἵππους
of-Aeneas and darting-at the-fair-maned horses
ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
drove-off from-the-Trojans toward well-greaved Achaeans
δῶκε δὲ Δηϊπύλῳ, ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
gave(-them) and to-Deipylus comrade dear whom beyond all
τῖεν ὁμηλικίης, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη,
he-honored of-those-his-age because with-him in-mind fitting-things he-knew
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· αὐτὰρ ὅ γ' ἥρως
the-ships to hollow to-drive but he indeed the-hero
ὧν ἵππων ἐπιβὰς ἔλαβ' ἡνία σιγαλόεντα,
his-own horses mounting took the-reins glossy

αἶψα δὲ Τυδείδην μέθεπε κρατερώνυχας ἵππους
quickly and the-son-of-Tydeus followed-after-with strong-hoofed horses
ἐμμεμαώς· ὁ δὲ Κύπριν ἐπώχετο νηλεΐ χαλκῷ,
eager he and Cypris went-after with-pitiless bronze
γιγνώσκων ὅ τ' ἄναλκις ἔην θεός, οὐδὲ θεάων
knowing that — strengthless she-was a-goddess nor of-goddesses
τάων αἵ τ' ἀνδρῶν πόλεμον κάτα κοιρανέουσιν,
of-those who — of-men the-war through lord
οὔτ' ἄρ' Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ.
neither then Athena nor sacker-of-cities Enyo
ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων,
but when indeed then he-overtook(-her) much through the-throng following
ἔνθ' ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱὸς
then stretching-forward of-great-hearted Tydeus the-son
ἄκρην οὔτασε χεῖρα μετάλμενος ὀξέϊ δουρὶ
outer wounded the-hand leaping-on with-sharp spear
ἀβληχρήν· εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν
the-tender at-once and the-spear the-flesh pierced
ἀμβροσίου διὰ πέπλου, ὅν οἱ Χάριτες κάμον αὐταί,
ambrosial through the-robe which for-her the-Graces wrought themselves
πρυμνὸν ὕπερ θέναρος· ῥέε δ' ἄμβροτον αἷμα θεοῖο,
at-the-base above the-palm flowed and immortal blood of-the-goddess
ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν·
ichor such indeed — flows in-the-blessed gods
οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον,
not for bread they-eat not they-drink sparkling wine
τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.
therefore bloodless they-are and immortals are-called
ἡ δὲ μέγα ἰάχουσα ἀπὸ ἕο κάββαλεν υἱόν·
she and loudly shrieking from herself let-fall the-son

καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο Φοῖβος Ἀπόλλων
and him indeed in hands protected Phoebus Apollo
κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων
with-dark cloud lest any of-the-Danaans of-swift-horses
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο·
bronze in breast casting out life might-take
τῇ δ' ἐπὶ μακρὸν ἄϋσε βοὴν ἀγαθὸς Διομήδης·
her and over loudly shouted at-the-war-cry good Diomedes
"εἶκε, Διὸς θύγατερ, πολέμου καὶ δηϊοτῆτος·
yield of-Zeus daughter from-war and combat
ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;
truly not enough that women strengthless you-deceive
εἰ δὲ σύ γ' ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ' ὀΐω
if and you indeed into war shall-go truly — you I-think
ῥιγήσειν πόλεμόν γε καὶ εἴ χ' ἑτέρωθι πύθηαι."
to-shudder-at war indeed even if — elsewhere you-hear(-of-it)
Ὣς ἔφαθ', ἡ δ' ἀλύουσ' ἀπεβήσετο, τείρετο δ' αἰνῶς·
So he-spoke she and distraught went-away was-worn and terribly
τὴν μὲν ἄρ' Ἶρις ἑλοῦσα ποδήνεμος ἔξαγ' ὁμίλου
her indeed then Iris taking wind-footed led-out from-the-throng
ἀχθομένην ὀδύνῃσι, μελαίνετο δὲ χρόα καλόν.
burdened with-pains was-darkened and the-flesh fair
εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα
she-found then of-the-battle on the-left furious Ares
ἥμενον· ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω·
sitting in-mist and the-spear was-leaned and the-swift horses
ἡ δὲ γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο
she and on-her-knee falling of-brother dear
πολλὰ λισσομένη χρυσάμπυκας ᾔτεεν ἵππους·
much beseeching the-golden-frontleted begged horses

"φίλε κασίγνητε, κόμισαί τέ με δὸς δέ μοι ἵππους,
dear brother take-care-of both me give and to-me the-horses
ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστί.
so-that to Olympus I-may-come where of-the-immortals the-seat is
λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνήρ,
exceedingly I-am-pained by-a-wound which me a-mortal wounded man
Τυδεΐδης, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο."
the-son-of-Tydeus who now indeed even — with-Zeus father would-fight
Ὣς φάτο, τῇ δ' ἄρ' Ἄρης δῶκε χρυσάμπυκας ἵππους·
So she-spoke to-her and then Ares gave the-golden-frontleted horses
ἡ δ' ἐς δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ,
she and into the-chariot went grieved in-dear heart
πὰρ δέ οἱ Ἶρις ἔβαινε καὶ ἡνία λάζετο χερσί,
beside and her Iris went and the-reins took in-hands
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην.
she-whipped and to-drive the-two and not unwilling flew
αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδος, αἰπὺν Ὄλυμπον·
quickly and then they-came of-the-gods to-the-seat steep Olympus
ἔνθ' ἵππους ἔστησε ποδήνεμος ὠκέα Ἶρις
there the-horses halted wind-footed swift Iris
λύσασ' ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ·
loosing(-them) from the-chariot beside and ambrosial cast food
ἡ δ' ἐν γούνασι πῖπτε Διώνης δῖ' Ἀφροδίτη,
she and in the-knees fell of-Dione noble Aphrodite
μητρὸς ἑῆς· ἡ δ' ἀγκὰς ἐλάζετο θυγατέρα ἣν,
of-mother her-own she and in-her-arms took the-daughter her-own
χειρί τέ μιν κατέρεξεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
with-hand and her stroked word and spoke out and named(-her)

"τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων
who now you such-things has-done dear child of-the-heavenly-ones
μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;"
wantonly as if some evil doing openly
Τὴν δ' ἠμείβετ' ἔπειτα φιλομμειδὴς Ἀφροδίτη·
Her and answered then smile-loving Aphrodite
"οὗτά με Τυδέος υἱός, ὑπέρθυμος Διομήδης,
wounded me of-Tydeus the-son high-spirited Diomedes
οὕνεκ' ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο,
because I dear son was-carrying-out-of war
Αἰνείαν, ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστιν.
Aeneas who to-me of-all by-far dearest is
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή,
not for longer of-Trojans and of-Achaeans the-battle dread
ἀλλ' ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται."
but already the-Danaans indeed even with-the-immortals fight
Τὴν δ' ἠμείβετ' ἔπειτα Διώνη, δῖα θεάων·
Her and answered then Dione bright of-goddesses
"τέτλαθι, τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ·
endure child my and hold-up grieving though
πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ' ἔχοντες
many for indeed we-have-endured Olympian homes having
ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες.
from men hard pains on each-other laying
τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης,
endured indeed Ares when him Otus mighty and Ephialtes
παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·
the-sons of-Aloeus bound strong in bond
χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας·
bronze and in a-jar he-was-bound thirteen months

καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο Ἄρης ἆτος πολέμοιο,
and now — there would-have-perished Ares insatiate of-war
εἰ μὴ μητρυιή, περικαλλὴς Ἠερίβοια,
if not the-stepmother very-fair Eëriboea
Ἑρμέᾳ ἐξήγγειλεν· ὁ δ᾽ ἐξέκλεψεν Ἄρηα
to-Hermes had-told he and stole-away Ares
ἤδη τειρόμενον, χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
already worn-out harsh and him the-bond subdued
τλῆ δ᾽ Ἥρη, ὅτε μιν κρατερὸς πάϊς Ἀμφιτρύωνος
endured and Hera when her mighty the-son of-Amphitryon
δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι
right on breast with-an-arrow three-barbed
βεβλήκει· τότε καί μιν ἀνήκεστον λάβεν ἄλγος.
struck then also her incurable seized pain
τλῆ δ᾽ Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν,
endured and Hades among them huge a-swift arrow
εὖτέ μιν ωὐτὸς ἀνήρ, υἱὸς Διὸς αἰγιόχοιο,
when him the-same man son of-Zeus aegis-bearing
ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν·
in Pylos among the-dead striking to-pains gave
αὐτὰρ ὁ βῆ πρὸς δῶμα Διὸς καὶ μακρὸν Ὄλυμπον
but he went to the-house of-Zeus and high Olympus
κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος· αὐτὰρ ὀϊστὸς
at-heart grieving with-pains pierced but the-arrow
ὤμῳ ἔνι στιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.
shoulder in stout was-driven troubled and the-spirit
τῷ δ᾽ ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων
for-him and on Paeëon pain-killing drugs sprinkling
ἠκέσατ᾽· οὐ μὲν γάρ τι καταθνητός γε τέτυκτο.
healed(-him) not indeed for at-all mortal indeed he-had-been-made

σχέτλιος, ὀβριμοεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
cruel doer-of-violence who not cared evil-things doing
ὃς τόξοισιν ἔκηδε θεούς, οἳ Ὄλυμπον ἔχουσι.
who with-bows vexed the-gods who Olympus hold
σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
against-you and upon this-man let-loose the-goddess flashing-eyed Athena
νήπιος, οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱός,
fool nor this knows in mind of-Tydeus the-son
ὅττι μάλ' οὐ δηναιὸς ὃς ἀθανάτοισι μάχηται,
that very not long-lived who with-the-immortals fights
οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν
nor at-all him children at knees call-papa
ἐλθόντ' ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.
having-come from war and dread combat
τῶ νῦν Τυδεΐδης, εἰ καὶ μάλα καρτερός ἐστι,
therefore now the-son-of-Tydeus if even very strong he-is
φραζέσθω μή τίς οἱ ἀμείνων σεῖο μάχηται,
let-him-beware lest any to-him better than-you fight
μὴ δὴν Αἰγιάλεια, περίφρων Ἀδρηστίνη,
lest long Aegialeia wise daughter-of-Adrastus
ἐξ ὕπνου γοόωσα φίλους οἰκῆας ἐγείρῃ,
from sleep wailing dear household wake
κουρίδιον ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν,
wedded longing-for husband the best of-the-Achaeans
ἰφθίμη ἄλοχος Διομήδεος ἱπποδάμοιο."
the-stately wife of-Diomedes horse-taming

Dione wipes away the ichor and heals the hand. Athena taunts Zeus that Aphrodite scratched it on a brooch, and Zeus tells Aphrodite that war is not her work. Diomedes attacks Aeneas three times though Apollo shields him, and the fourth time Apollo warns him off. Apollo sets Aeneas in his temple on Pergamus, where Leto and Artemis heal him, and leaves a phantom for the armies to fight over. Ares, roused by Apollo, stirs the Trojans as Acamas, and Sarpedon rebukes Hector for leaving the fighting to the allies.

Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ᾽ ἰχῶ χειρὸς ὀμόργνυ·
She-spoke then and with-both off the-ichor the-hand she-wiped
ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.
was-healed the-hand the-pains and were-soothed heavy
αἱ δ᾽ αὖτ᾽ εἰσορόωσαι Ἀθηναίη τε καὶ Ἥρη
they and in-turn looking-on Athena both and Hera
κερτομίοις ἐπέεσσι Δία Κρονίδην ἐρέθιζον.
with-mocking words Zeus son-of-Cronus provoked
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
among-them and of-words began the-goddess flashing-eyed Athena
"Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, ὅττί κεν εἴπω;
Zeus father truly then at-all at-me will-you-be-angry whatever — I-say
ἦ μάλα δή τινα Κύπρις Ἀχαιϊάδων ἀνιεῖσα
truly very indeed some Cypris of-the-Achaean-women urging
Τρωσὶν ἅμα σπέσθαι, τοὺς νῦν ἔκπαγλα φίλησε,
with-the-Trojans together to-follow whom now exceedingly she-loved
τῶν τινα καρρέζουσα Ἀχαιϊάδων ἐϋπέπλων
of-these some stroking of-the-Achaean-women fair-robed
πρὸς χρυσῇ περόνῃ καταμύξατο χεῖρα ἁραιήν."
against golden brooch scratched hand slender

Ὣς φάτο, μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
So she-spoke smiled and the-father of-men both of-gods and
καί ῥα καλεσσάμενος προσέφη χρυσῆν Ἀφροδίτην·
and then having-called(-her) addressed golden Aphrodite
"οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα,
not to-you child my are-given warlike works
ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
but you indeed the-lovely attend-to works of-marriage
ταῦτα δ' Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει."
these-things and to-Ares swift and to-Athena all will-be-a-care

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
Αἰνείᾳ δ' ἐπόρουσε βοὴν ἀγαθὸς Διομήδης,
at-Aeneas and sprang at-the-war-cry good Diomedes
γιγνώσκων ὅ οἱ αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων·
knowing that for-him himself held-over hands Apollo
ἀλλ' ὅ γ' ἄρ' οὐδὲ θεὸν μέγαν ἄζετο, ἵετο δ' αἰεὶ
but he indeed then not-even the-god great revered was-eager and always
Αἰνείαν κτεῖναι καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
Aeneas to-kill and off famed arms to-strip
τρὶς μὲν ἔπειτ' ἐπόρουσε κατακτάμεναι μενεαίνων,
thrice indeed then he-sprang-on to-kill eager
τρὶς δέ οἱ ἐστυφέλιξε φαεινὴν ἀσπίδ' Ἀπόλλων·
thrice and his thrust-back shining shield Apollo
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
but when indeed the fourth-time he-rushed-on to-a-divinity equal
δεινὰ δ' ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων·
terribly and having-shouted addressed the-far-worker Apollo

"φράζεο, Τυδεΐδη, καὶ χάζεο, μηδὲ θεοῖσιν
take-thought son-of-Tydeus and give-way nor to-the-gods
ἶσ' ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
equal wish to-think since not ever the-race same
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων."
of-immortal both gods on-the-ground going and of-men
Ὣς φάτο, Τυδεΐδης δ' ἀνεχάζετο τυτθὸν ὀπίσσω,
So he-spoke the-son-of-Tydeus and gave-way a-little backward
μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
the-wrath shunning of-far-shooting Apollo
Αἰνείαν δ' ἀπάτερθεν ὁμίλου θῆκεν Ἀπόλλων
Aeneas and apart from-the-throng set Apollo
Περγάμῳ εἰν ἱερῇ, ὅθι οἱ νηός γε τέτυκτο.
Pergamus in holy where for-him a-temple indeed had-been-built
ἤτοι τὸν Λητώ τε καὶ Ἄρτεμις ἰοχέαιρα
truly him Leto both and Artemis arrow-pouring
ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε κύδαινόν τε·
in great inner-shrine healed both glorified and
αὐτὰρ ὁ εἴδωλον τεῦξ' ἀργυρότοξος Ἀπόλλων
but he an-image made silver-bowed Apollo
αὐτῷ τ' Αἰνείᾳ ἴκελον καὶ τεύχεσι τοῖον,
to-the-very both Aeneas like and in-arms such
ἀμφὶ δ' ἄρ' εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ
around and then the-image the-Trojans and noble Achaeans
δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας
were-hewing of-each-other around breasts ox-hide
ἀσπίδας εὐκύκλους λαισήϊά τε πτερόεντα.
shields well-rounded fringed-shields and fluttering
δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων·
indeed then furious Ares addressed Phoebus Apollo

" Ἄρες Ἄρες βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα,
Ares Ares man-destroying blood-stained stormer-of-walls
οὐκ ἂν δὴ τόνδ' ἄνδρα μάχης ἐρύσαιο μετελθών,
not — indeed this man from-battle would-you-drag going-after(-him)
Τυδείδην, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
the-son-of-Tydeus who now indeed even — with-Zeus father would-fight
Κύπριδα μὲν πρῶτα σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ,
Cypris indeed first near he-wounded the-hand at the-wrist
αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος."
but then myself at-me he-rushed-on to-a-divinity equal
Ὣς εἰπὼν αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ,
So having-spoken himself indeed sat on-Pergamus topmost
Τρῳὰς δὲ στίχας οὖλος Ἄρης ὄτρυνε μετελθών,
the-Trojan and ranks baneful Ares urged going-among(-them)
εἰδόμενος Ἀκάμαντι θοῷ ἡγήτορι Θρῃκῶν·
likened to-Acamas swift leader of-the-Thracians
υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσι κέλευεν·
the-sons and of-Priam Zeus-nurtured he-bade
"ὦ υἷες Πριάμοιο, διοτρεφέος βασιλῆος,
O sons of-Priam Zeus-nurtured king
ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς;
till when still to-be-slain will-you-let the-people by-the-Achaeans
ἦ εἰς ὅ κεν ἀμφὶ πύλῃς εὖ ποιητῇσι μάχωνται;
truly until the-time — around the-gates well made they-fight
κεῖται ἀνὴρ ὃν ἶσον ἐτίομεν Ἕκτορι δίῳ,
lies a-man whom equally we-honored with-Hector noble
Αἰνείας, υἱὸς μεγαλήτορος Ἀγχίσαο·
Aeneas son of-great-hearted Anchises
ἀλλ' ἄγετ' ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον."
but come out-of the-din let-us-save the-noble comrade

Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken he-roused the-might and spirit of-each
ἔνθ' αὖ Σαρπηδὼν μάλα νείκεσεν Ἕκτορα δῖον·
then in-turn Sarpedon greatly rebuked Hector noble
" Ἕκτορ, πῇ δή τοι μένος οἴχεται ὃ πρὶν ἔχεσκες;
Hector where indeed your might is-gone which before you-had
φῆς που ἄτερ λαῶν πόλιν ἑξέμεν ἠδ' ἐπικούρων
you-said surely without people the-city to-hold and allies
οἷος, σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσι.
alone with brothers-in-law brothers and your
τῶν νῦν οὔ τιν' ἐγὼ ἰδέειν δύναμ' οὐδὲ νοῆσαι,
of-them now not any I to-see am-able nor to-perceive
ἀλλὰ καταπτώσσουσι κύνες ὡς ἀμφὶ λέοντα·
but they-cower dogs like around a-lion
ἡμεῖς δὲ μαχόμεσθ', οἵ πέρ τ' ἐπίκουροι ἔνειμεν.
we and fight who indeed — allies are-among(-you)
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μάλα τηλόθεν ἥκω·
also for I ally being very from-afar have-come
τηλοῦ γὰρ Λυκίη, Ξάνθῳ ἔπι δινήεντι,
far for Lycia the-Xanthus by eddying
ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν,
there wife both dear I-left and infant son
κἀδ δὲ κτήματα πολλά, τὰ ἔλδεται ὅς κ' ἐπιδευής.
down and possessions many which longs-for whoever — is-needy
ἀλλὰ καὶ ὣς Λυκίους ὀτρύνω καὶ μέμον' αὐτὸς
but even so the-Lycians I-urge and am-eager myself
ἀνδρὶ μαχήσασθαι· ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον
with-a-man to-fight but not at-all to-me here such
οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ ἦ κεν ἄγοιεν·
as — either might-carry-off the-Achaeans or — might-drive-off

τύνη δ' ἔστηκας, ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις
you and stand but not-even the-others do-you-bid
λαοῖσιν μενέμεν καὶ ἀμυνέμεναι ὥρεσσι.
the-people to-stand-fast and to-defend for-the-wives
μή πως, ὡς ἀψῖσι λίνοι' ἁλόντε πανάγρου,
lest somehow as in-the-meshes of-flax caught all-catching
ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε·
for-men hostile prey and booty you-become
οἱ δὲ τάχ' ἐκπέρσουσ' εὖ ναιομένην πόλιν ὑμήν.
they and soon will-sack well inhabited city your
σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε καὶ ἦμαρ,
for-you and it-is-needful these-things all to-be-a-care by-nights both and day
ἀρχοὺς λισσομένῳ τηλεκλειτῶν ἐπικούρων
the-leaders beseeching of-the-far-famed allies
νωλεμέως ἐχέμεν, κρατερὴν δ' ἀποθέσθαι ἐνιπήν."
ceaselessly to-hold-out harsh and to-put-away the-rebuke

Stung, Hector leaps down and rallies the Trojans, and the Achaeans grow white with dust like chaff on a threshing floor. Ares covers the field in night, and Apollo sends Aeneas back healed into his comrades' ranks. The Ajaxes, Odysseus, and Diomedes urge on the Danaans, who stand like windless clouds on the peaks, and Agamemnon urges them to stand fast and kills Deicoon. Aeneas kills the twin sons of Diocles, who fall like firs, and Menelaus and Antilochus drive him off and recover their bodies.

Ὣς φάτο Σαρπηδών, δάκε δὲ φρένας Ἕκτορι μῦθος·
So spoke Sarpedon stung and the-heart of-Hector the-word
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε,
at-once and from the-chariot with arms he-leapt to-the-ground
πάλλων δ' ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ, 495
brandishing and sharp spears through the-host he-went everywhere
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
urging(-them) to-fight he-roused and battle dread
οἱ δ' ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν·
they and rallied and facing stood of-the-Achaeans
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες οὐδὲ φόβηθεν.
the-Argives and held-firm in-a-mass nor were-routed
ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωὰς
as and the-wind chaff carries sacred over threshing-floors
ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ 500
men winnowing when — fair-haired Demeter
κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας,
separates hastening winds grain both and chaff

αἱ δ' ὑπολευκαίνονται ἀχυρμιαί· ὣς τότ' Ἀχαιοὶ
they and grow-white-beneath the-chaff-heaps so then the-Achaeans
λευκοὶ ὕπερθε γένοντο κονισάλῳ, ὅν ῥα δι' αὐτῶν
white above became with-the-dust-cloud which then through them
οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων,
heaven to brazen struck the-feet of-the-horses
ἆψ ἐπιμισγομένων· ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες.
back joining-battle under and they-wheeled the-charioteers
οἱ δὲ μένος χειρῶν ἰθὺς φέρον· ἀμφὶ δὲ νύκτα
they and the-might of-their-hands straight bore around and night
θοῦρος Ἄρης ἐκάλυψε μάχῃ Τρώεσσιν ἀρήγων,
furious Ares covered in-battle the-Trojans helping
πάντοσ' ἐποιχόμενος· τοῦ δ' ἐκραίαινεν ἐφετμὰς
everywhere going-about of-him and he-fulfilled the-behests
Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅς μιν ἀνώγει
of-Phoebus Apollo of-the-golden-sword who him bade
Τρωσὶν θυμὸν ἐγεῖραι, ἐπεὶ ἴδε Παλλάδ' Ἀθήνην
of-the-Trojans the-spirit to-rouse when he-saw Pallas Athena
οἰχομένην· ἡ γάρ ῥα πέλεν Δαναοῖσιν ἀρηγών.
gone she for then was for-the-Danaans a-helper
αὐτὸς δ' Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
himself and Aeneas very rich from inner-shrine
ἧκε, καὶ ἐν στήθεσσι μένος βάλε ποιμένι λαῶν.
sent and in breast might cast to-the-shepherd of-the-people
Αἰνείας δ' ἑτάροισι μεθίστατο· τοὶ δὲ χάρησαν,
Aeneas and among-his-comrades took-his-place they and rejoiced
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα
as they-saw(-him) alive both and sound approaching
καὶ μένος ἐσθλὸν ἔχοντα· μετάλλησάν γε μὲν οὔ τι.
and might noble having they-questioned(-him) indeed indeed not at-all

οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν ἀργυρότοξος ἔγειρεν
not for let toil other which the-silver-bowed roused
Ἄρης τε βροτολοιγὸς Ἔρις τ᾽ ἄμοτον μεμαυῖα.
Ares both man-destroying Strife and unceasingly raging
Τοὺς δ᾽ Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης
Them and the-Ajaxes two and Odysseus and Diomedes
ὄτρυνον Δαναοὺς πολεμιζέμεν· οἱ δὲ καὶ αὐτοὶ
urged the-Danaans to-war they and even themselves
οὔτε βίας Τρώων ὑπεδείδισαν οὔτε ἰωκάς,
neither the-might of-the-Trojans feared nor the-onsets
ἀλλ᾽ ἔμενον νεφέλῃσιν ἐοικότες, ἅς τε Κρονίων
but they-stood-fast to-clouds like which — the-son-of-Cronus
νηνεμίης ἔστησεν ἐπ᾽ ἀκροπόλοισιν ὄρεσσιν
in-windless-calm sets on high-peaked mountains
ἀτρέμας, ὄφρ᾽ εὕδῃσι μένος Βορέαο καὶ ἄλλων
motionless while sleeps the-might of-Boreas and of-other
ζαχρειῶν ἀνέμων, οἵ τε νέφεα σκιόεντα
furious winds which — clouds shadowy
πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντες·
with-blasts shrill scatter blowing
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο.
so the-Danaans the-Trojans awaited steadfast nor fled
Ἀτρεΐδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα πολλὰ κελεύων·
the-son-of-Atreus and through the-throng ranged much commanding
"ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε,
O friends men be and valiant heart take
ἀλλήλους τ᾽ αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας·
each-other and respect through mighty combats

αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
of-respecting men more safe than are-slain
φευγόντων δ' οὔτ' ἄρ κλέος ὄρνυται οὔτέ τις ἀλκή."
of-those-fleeing and neither then glory arises nor any defense
Ἦ, καὶ ἀκόντισε δουρὶ θοῶς, βάλε δὲ πρόμον ἄνδρα,
He-spoke and threw with-the-spear swiftly struck and a-foremost man
Αἰνείω ἕταρον μεγαθύμου, Δηϊκόωντα
of-Aeneas comrade of-great-hearted Deicoon
Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
son-of-Pergasus whom the-Trojans equally of-Priam with-the-children
τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι.
honored since swift he-was among the-foremost to-fight
τόν ῥα κατ' ἀσπίδα δουρὶ βάλε κρείων Ἀγαμέμνων·
him then on the-shield with-spear struck lord Agamemnon
ἡ δ' οὐκ ἔγχος ἔρυτο, διαπρὸ δὲ εἴσατο χαλκός,
it and not the-spear stopped right-through and passed bronze
νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε·
lowest and in belly through the-belt he-drove(-it)
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
he-thudded and falling rattled and the-arms upon him
Ἔνθ' αὖτ' Αἰνείας Δαναῶν ἕλεν ἄνδρας ἀρίστους,
Then in-turn Aeneas of-the-Danaans took men best
υἷε Διοκλῆος, Κρήθωνά τε Ὀρσίλοχόν τε,
the-sons of-Diocles Crethon both Orsilochus and
τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐϋκτιμένῃ ἐνὶ Φηρῇ,
of-whom then the-father indeed dwelt well-built in Phere
ἀφνειὸς βιότοιο, γένος δ' ἦν ἐκ ποταμοῖο
rich in-livelihood the-race and was from the-river
Ἀλφειοῦ, ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης,
of-Alpheus which — broadly flows of-the-Pylians through the-land

ὃς τέκετ᾽ Ὀρτίλοχον πολέεσσ᾽ ἄνδρεσσιν ἄνακτα·
who begot Ortilochus to-many men lord
Ὀρτίλοχος δ᾽ ἄρ᾽ ἔτικτε Διοκλῆα μεγάθυμον,
Ortilochus and then begot Diocles great-hearted
ἐκ δὲ Διοκλῆος διδυμάονε παῖδε γενέσθην,
from and Diocles twin sons were-born
Κρήθων Ὀρσίλοχός τε, μάχης εὖ εἰδότε πάσης.
Crethon Orsilochus and of-battle well knowing all
τὼ μὲν ἄρ᾽ ἡβήσαντε μελαινάων ἐπὶ νηῶν
the-two indeed then having-reached-manhood black on ships
Ἴλιον εἰς εὔπωλον ἅμ᾽ Ἀργείοισιν ἑπέσθην,
Ilium to of-good-foals with the-Argives followed
τιμὴν Ἀτρεΐδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ,
honor for-the-sons-of-Atreus Agamemnon and Menelaus
ἀρνυμένω· τὼ δ᾽ αὖθι τέλος θανάτοιο κάλυψεν.
seeking the-two and there the-end of-death covered
οἵω τώ γε λέοντε δύω ὄρεος κορυφῇσιν
like they indeed lions two of-a-mountain on-the-peaks
ἐτραφέτην ὑπὸ μητρὶ βαθείης τάρφεσιν ὕλης·
were-reared under mother of-deep in-the-thickets forest
τὼ μὲν ἄρ᾽ ἁρπάζοντε βόας καὶ ἴφια μῆλα
the-two indeed then seizing cattle and stout sheep
σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
the-steadings of-men ravage until also themselves
ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ·
of-men in the-hands were-killed with-sharp bronze
τοίω τὼ χείρεσσιν ὑπ᾽ Αἰνείαο δαμέντε
such the-two the-hands under of-Aeneas subdued
καππεσέτην, ἐλάτῃσιν ἐοικότες ὑψηλῇσι.
fell to-fir-trees like tall

Τὼ δὲ πεσόντ' ἐλέησεν ἀρηΐφιλος Μενέλαος,
The-two and fallen pitied dear-to-Ares Menelaus
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
went and through the-champions armed with-gleaming bronze
σείων ἐγχείην· τοῦ δ' ὄτρυνεν μένος Ἄρης,
brandishing the-spear of-him and roused the-might Ares
τὰ φρονέων, ἵνα χερσὶν ὑπ' Αἰνείαο δαμείη.
this intending so-that the-hands under of-Aeneas he-might-be-subdued
τὸν δ' ἴδεν Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός,
him and saw Antilochus of-great-hearted Nestor son
βῆ δὲ διὰ προμάχων· περὶ γὰρ δίε ποιμένι λαῶν,
went and through the-champions greatly for he-feared for-the-shepherd of-the-people
μή τι πάθοι, μέγα δέ σφας ἀποσφήλειε πόνοιο.
lest at-all he-should-suffer greatly and them should-balk of-the-toil
τὼ μὲν δὴ χείρᾱς τε καὶ ἔγχεα ὀξυόεντα
the-two indeed truly hands both and spears sharp
ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεσθαι·
facing each-other held eager to-fight
Ἀντίλοχος δὲ μάλ' ἄγχι παρίστατο ποιμένι λαῶν.
Antilochus and very near stood-by the-shepherd of-the-people
Αἰνείας δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής,
Aeneas and not stood-fast swift though being warrior
ὡς εἶδεν δύο φῶτε παρ' ἀλλήλοισι μένοντε.
as he-saw two men beside each-other standing-fast
οἱ δ' ἐπεὶ οὖν νεκροὺς ἔρυσαν μετὰ λαὸν Ἀχαιῶν,
they and when then the-corpses dragged to the-people of-the-Achaeans
τὼ μὲν ἄρα δειλὼ βαλέτην ἐν χερσὶν ἑταίρων,
the-two indeed then wretched placed in hands of-comrades
αὐτὼ δὲ στρεφθέντε μετὰ πρώτοισι μαχέσθην.
themselves and turning among the-foremost fought

Menelaus kills Pylaemenes, and Antilochus strikes down his driver. Hector charges with Ares and Enyo beside him, and Diomedes recoils like a man at a flooding river and tells the Achaeans to give way before the god. Hector kills two men, and Ajax kills Amphius but cannot strip his armor. Tlepolemus, son of Heracles, taunts Sarpedon, son of Zeus, as unworthy of his father beside Heracles, who once sacked Troy. They throw at once; Tlepolemus falls dead, and Sarpedon is struck in the thigh.

Ἔνθα Πυλαιμένεα ἐλέτην ἀτάλαντον Ἄρηϊ,
Then Pylaemenes they-took equal to-Ares
ἀρχὸν Παφλαγόνων μεγαθύμων ἀσπιστάων.
leader of-the-Paphlagonians great-hearted shield-bearers
τὸν μὲν ἄρ᾽ Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος
him indeed then the-son-of-Atreus spear-famed Menelaus
ἑσταότ᾽ ἔγχει νύξε κατὰ κληῖδα τυχήσας·
standing with-spear pierced at the-collar-bone hitting(-him)
Ἀντίλοχος δὲ Μύδωνα βάλ᾽, ἡνίοχον θεράποντα, 580
Antilochus and Mydon struck charioteer attendant
ἐσθλὸν Ἀτυμνιάδην — ὁ δ᾽ ὑπέστρεφε μώνυχας ἵππους —
noble son-of-Atymnius he and was-turning single-hoofed horses
χερμαδίῳ ἀγκῶνα τυχὼν μέσον· ἐκ δ᾽ ἄρα χειρῶν
with-a-stone the-elbow hitting in-the-middle out and then the-hands
ἡνία λεύκ᾽ ἐλέφαντι χαμαὶ πέσον ἐν κονίῃσιν.
the-reins white with-ivory to-the-ground fell in the-dust
Ἀντίλοχος δ᾽ ἄρ᾽ ἐπαΐξας ξίφει ἤλασε κόρσην·
Antilochus and then darting-on with-sword drove-at the-temple

αὐτὰρ ὅ γ᾽ ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου
but he indeed gasping from-well-made fell chariot
κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους.
headlong in the-dust on crown both and shoulders
δηθὰ μάλ᾽ ἑστήκει — τύχε γάρ ῥ᾽ ἀμάθοιο βαθείης —
long very he-stood he-chanced for then on-sand deep
ὄφρ᾽ ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσι·
until the-horses striking(-him) to-the-ground threw(-him) in the-dust
τοὺς ἵμασ᾽ Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλασ᾽ Ἀχαιῶν.
them lashed Antilochus to and the-host drove of-the-Achaeans
Τοὺς δ᾽ Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ᾽ ἐπ᾽ αὐτούς
Them and Hector noticed through the-ranks rushed and at them
κεκλήγων· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
shouting together and of-the-Trojans followed the-ranks
καρτεραί· ἦρχε δ᾽ ἄρα σφιν Ἄρης καὶ πότνι᾽ Ἐνυώ,
strong led and then them Ares and queenly Enyo
ἡ μὲν ἔχουσα Κυδοιμὸν ἀναιδέα δηϊοτῆτος,
she indeed having Tumult shameless of-combat
Ἄρης δ᾽ ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα,
Ares and in the-palms a-huge spear wielded
φοίτα δ᾽ ἄλλοτε μὲν πρόσθ᾽ Ἕκτορος, ἄλλοτ᾽ ὄπισθε.
he-ranged and at-one-time indeed in-front-of Hector at-another behind
Τὸν δὲ ἰδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης·
Him and seeing shuddered at-the-war-cry good Diomedes
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ἀπάλαμνος, ἰὼν πολέος πεδίοιο,
as and when a-man helpless going over-wide plain
στήῃ ἐπ᾽ ὠκυρόῳ ποταμῷ ἅλαδε προρέοντι,
stands at swift-flowing river to-the-sea flowing-forth
ἀφρῷ μορμύροντα ἰδών, ἀνά τ᾽ ἔδραμ᾽ ὀπίσσω,
with-foam boiling seeing up and runs backward

ὣς τότε Τυδεΐδης ἀνεχάζετο, εἶπέ τε λαῷ·
so then the-son-of-Tydeus gave-ground said and to-the-people
"ὦ φίλοι, οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον
O friends how indeed we-marvel-at Hector noble
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν·
a-spearman both to-be and bold warrior
τῷ δ' αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει·
to-him and always beside one indeed of-the-gods who ruin wards-off
καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης, βροτῷ ἀνδρὶ ἐοικώς.
and now with-him beside(-is) that Ares to-a-mortal man like
ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
but toward the-Trojans turned always backward
εἴκετε, μηδὲ θεοῖς μενεαινέμεν ἶφι μάχεσθαι."
yield nor with-gods be-eager mightily to-fight
Ὣς ἄρ' ἔφη, Τρῶες δὲ μάλα σχεδὸν ἦλυθον αὐτῶν.
So then he-spoke the-Trojans and very near came them
ἔνθ' Ἕκτωρ δύο φῶτε κατέκτανεν εἰδότε χάρμης,
then Hector two men killed knowing of-the-fight
εἰν ἑνὶ δίφρῳ ἐόντε, Μενέσθην Ἀγχίαλόν τε.
in one chariot being Menesthes Anchialus and
τὼ δὲ πεσόντ' ἐλέησε μέγας Τελαμώνιος Αἴας·
the-two and fallen pitied great Telamonian Ajax
στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
stood and very near going and threw with-spear shining
καὶ βάλεν Ἄμφιον, Σελάγου υἱόν, ὅς ῥ' ἐνὶ Παισῷ
and struck Amphius of-Selagus son who then in Paesus
ναῖε πολυκτήμων πολυλήϊος· ἀλλά έ μοῖρα
dwelt rich-in-possessions rich-in-grain but him fate
ἦγ' ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας.
led to-be-an-ally to Priam both and his-sons

τόν ῥα κατὰ ζωστῆρα βάλεν Τελαμώνιος Αἴας,
him then at the-belt struck Telamonian Ajax
νειαίρῃ δ' ἐν γαστρὶ πάγη δολιχόσκιον ἔγχος,
lowest and in belly stuck the-long-shadowed spear
δούπησεν δὲ πεσών· ὁ δ' ἐπέδραμε φαίδιμος Αἴας
he-thudded and falling he and ran-up glorious Ajax
τεύχεα συλήσων· Τρῶες δ' ἐπὶ δούρατ' ἔχευαν
the-arms to-strip the-Trojans and on spears poured
ὀξέα παμφανόωντα· σάκος δ' ἀνεδέξατο πολλά.
sharp all-shining the-shield and received many
αὐτὰρ ὁ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
but he with-the-heel stepping-on from the-corpse the-bronze spear
ἐσπάσατ'· οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλὰ
drew-out nor then still the-other was-he-able arms fair
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσι.
from-the-shoulders to-take he-was-pressed for by-missiles
δεῖσε δ' ὅ γ' ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων,
feared and he indeed the-defense mighty of-the-Trojans proud
οἳ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε' ἔχοντες,
who many both and brave stood spears holding
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν
who him great though being and mighty and lordly
ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη.
thrust away from-themselves he and having-given-ground was-shaken
Ὣς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην·
So they indeed toiled through mighty combat
Τληπόλεμον δ' Ἡρακλείδην, ἠΰν τε μέγαν τε,
Tlepolemus and son-of-Heracles noble both tall and
ὦρσεν ἐπ' ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.
roused against godlike Sarpedon fate strong

οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
they and when indeed near were against each-other going
υἱὸς θ' υἱωνός τε Διὸς νεφεληγερέταο,
the-son both grandson and of-Zeus cloud-gatherer
τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔειπε·
him and Tlepolemus first to word spoke
"Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
Sarpedon of-the-Lycians counselor what to-you necessity
πτώσσειν ἐνθάδ' ἐόντι μάχης ἀδαήμονι φωτί;
to-cower here being of-battle ignorant to-a-man
ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
lying and you they-say of-Zeus the-offspring aegis-bearing
εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν
to-be since much of-those you-fall-short men
οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων·
who from-Zeus were-born in-the-days-of former men
ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην
but what-a any they-say the-might of-Heracles
εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα θυμολέοντα·
to-be my father bold-in-counsel lion-hearted
ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος
who once hither having-come for-the-sake of-the-horses of-Laomedon
ἓξ οἵῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν
six alone with ships and men fewer
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς·
of-Ilium sacked the-city widowed and the-streets
σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
yours and cowardly indeed the-heart are-wasting-away and the-people

οὐδέ τί σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι
nor at-all you for-the-Trojans I-think a-defense to-be
ἐλθόντ' ἐκ Λυκίης, οὐδ' εἰ μάλα καρτερός ἐσσι,
having-come from Lycia not-even if very strong you-are
ἀλλ' ὑπ' ἐμοὶ δμηθέντα πύλας Ἄϊδαο περήσειν."
but under me subdued the-gates of-Hades to-pass
Τὸν δ' αὖ Σαρπηδὼν Λυκίων ἀγὸς ἀντίον ηὔδα·
Him and in-turn Sarpedon of-the-Lycians leader in-reply spoke
"Τληπόλεμ', ἦτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν
Tlepolemus truly that-one destroyed Ilium sacred
ἀνέρος ἀφραδίῃσιν ἀγαυοῦ Λαομέδοντος,
of-the-man through-the-follies of-lordly Laomedon
ὅς ῥά μιν εὖ ἔρξαντα κακῷ ἠνίπαπε μύθῳ,
who then him well having-done-to(-him) with-evil rebuked word
οὐδ' ἀπέδωχ' ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε.
nor gave-back the-horses whose for-the-sake from-afar he-had-come
σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
for-you and I here say slaughter and doom black
ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα
from me to-be-wrought my and under spear subdued
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ."
glory to-me to-give the-soul and to-Hades of-famed-horses
Ὣς φάτο Σαρπηδών, ὁ δ' ἀνέσχετο μείλινον ἔγχος
So spoke Sarpedon he and raised ashen spear
Τληπόλεμος· καὶ τῶν μὲν ἁμαρτῇ δούρατα μακρὰ
Tlepolemus and of-them indeed at-the-same-moment the-spears long
ἐκ χειρῶν ἤϊξαν· ὁ μὲν βάλεν αὐχένα μέσσον
from hands darted he indeed struck the-neck in-the-middle
Σαρπηδών, αἰχμὴ δὲ διαμπερὲς ἦλθ' ἀλεγεινή·
Sarpedon the-point and right-through went grievous

τὸν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.
him and down the-eyes dark night covered
Τληπόλεμος δ᾽ ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
Tlepolemus and then on-thigh left with-spear long
βεβλήκειν, αἰχμὴ δὲ διέσσυτο μαιμώωσα,
had-struck the-point and rushed-through eager
ὀστέῳ ἐγχριμφθεῖσα, πατὴρ δ᾽ ἔτι λοιγὸν ἄμυνεν.
on-the-bone grazing the-father and still ruin warded-off

V.9 · HECTOR AND ARES ADVANCE

Sarpedon's comrades carry him off with the spear still in his thigh. Odysseus, kept from him by fate, kills seven Lycians instead, until Hector comes; Sarpedon begs not to be left to the Danaans, and is laid under Zeus' oak while Pelagon draws out the spear. The Argives give ground before Hector and Ares, who kill six men. Seeing the slaughter, Hera calls on Athena to stop Ares. Hera yokes the horses while Hebe fits the wheels of their chariot, all of gold, silver, and bronze.

Οἱ μὲν ἄρ᾽ ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
They indeed then godlike Sarpedon noble comrades
ἐξέφερον πολέμοιο· βάρυνε δέ μιν δόρυ μακρὸν
carried-out-of war weighed-down and him the-spear long
ἑλκόμενον· τὸ μὲν οὔ τις ἐπεφράσατ᾽ οὐδ᾽ ἐνόησε,
trailing it indeed not anyone took-thought-of nor noticed
μηροῦ ἐξερύσαι δόρυ μείλινον, ὄφρ᾽ ἐπιβαίη,
from-the-thigh to-draw-out the-spear ashen so-that he-might-mount
σπευδόντων· τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.
hastening such for they-had toil busying-themselves

Τληπόλεμον δ' ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
Tlepolemus and on-the-other-side well-greaved Achaeans
ἐξέφερον πολέμοιο· νόησε δὲ δῖος Ὀδυσσεὺς
carried-out-of war noticed and noble Odysseus
τλήμονα θυμὸν ἔχων, μαίμησε δέ οἱ φίλον ἦτορ·
enduring heart having was-eager and his dear heart
μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
he-pondered and then in mind and in heart
ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,
whether further of-Zeus the-son loud-thundering he-should-pursue
ἦ ὅ γε τῶν πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο.
or he indeed of-them more of-the-Lycians from life should-take
οὐδ' ἄρ' Ὀδυσσῆϊ μεγαλήτορι μόρσιμον ἦεν
nor then for-Odysseus great-hearted fated it-was
ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν ὀξέϊ χαλκῷ·
the-mighty of-Zeus son to-kill with-sharp bronze
τῷ ῥα κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη.
therefore then toward the-multitude of-the-Lycians turned his-heart Athena
ἔνθ' ὅ γε Κοίρανον εἷλεν Ἀλάστορά τε Χρομίον τε
then he indeed Coeranus took Alastor both Chromius and
Ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
Alcandrus and Halius and Noemon and Prytanis and
καί νύ κ' ἔτι πλέονας Λυκίων κτάνε δῖος Ὀδυσσεύς,
and now — still more of-the-Lycians would-have-killed noble Odysseus
εἰ μὴ ἄρ' ὀξὺ νόησε μέγας κορυθαίολος Ἕκτωρ·
if not then keenly noticed great helmet-flashing Hector
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
went and through the-champions armed with-gleaming bronze

δεῖμα φέρων Δαναοῖσι· χάρη δ' ἄρα οἱ προσιόντι
terror bringing to-the-Danaans rejoiced and then at-him approaching
Σαρπηδὼν Διὸς υἱός, ἔπος δ' ὀλοφυδνὸν ἔειπε·
Sarpedon of-Zeus son word and piteous spoke
"Πριαμίδη, μὴ δή με ἔλωρ Δαναοῖσιν ἐάσῃς
son-of-Priam not indeed me prey for-the-Danaans let
κεῖσθαι, ἀλλ' ἐπάμυνον· ἔπειτά με καὶ λίποι αἰὼν
to-lie but defend(-me) then me even may-leave life
ἐν πόλει ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἔγωγε
in city your since not then I-was-destined I-indeed
νοστήσας οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
having-returned homeward dear to native land
εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν."
to-gladden wife both dear and infant son
Ὣς φάτο, τὸν δ' οὔ τι προσέφη κορυθαίολος Ἕκτωρ,
So he-spoke him and not at-all addressed helmet-flashing Hector
ἀλλὰ παρήϊξεν, λελιημένος ὄφρα τάχιστα
but darted-past eager so-that most-quickly
ὥσαιτ' Ἀργείους, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
he-might-thrust-back the-Argives of-many and from life might-take
οἱ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
they indeed then godlike Sarpedon noble comrades
εἶσαν ὑπ' αἰγιόχοιο Διὸς περικαλλέϊ φηγῷ·
seated under of-aegis-bearing Zeus very-fair oak
ἐκ δ' ἄρα οἱ μηροῦ δόρυ μείλινον ὦσε θύραζε
out and then his from-the-thigh the-spear ashen thrust forth
ἴφθιμος Πελάγων, ὅς οἱ φίλος ἦεν ἑταῖρος.
mighty Pelagon who his dear was comrade
τὸν δὲ λίπε ψυχή, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς·
him and left the-soul down and over-the-eyes was-poured mist

αὖτις δ' ἐμπνύνθη, περὶ δὲ πνοιὴ Βορέαο
again and he-revived around and the-breath of-Boreas
ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.
brought-back blowing-upon grievously gasping spirit
Ἀργεῖοι δ' ὑπ' Ἄρηϊ καὶ Ἕκτορι χαλκοκορυστῇ
The-Argives and under Ares and Hector bronze-helmeted
οὔτέ ποτε προτρέποντο μελαινάων ἐπὶ νηῶν
neither ever turned-to-flee black to ships
οὔτε ποτ' ἀντεφέροντο μάχῃ, ἀλλ' αἰὲν ὀπίσσω
nor ever bore-against(-them) in-battle but always backward
χάζονθ', ὡς ἐπύθοντο μετὰ Τρώεσσιν Ἄρηα.
gave-ground as they-learned among the-Trojans Ares
Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξαν
Then whom first whom and last stripped
Ἕκτωρ τε Πριάμοιο πάϊς καὶ χάλκεος Ἄρης;
Hector both of-Priam son and bronze Ares
ἀντίθεον Τεύθραντ', ἐπὶ δὲ πλήξιππον Ὀρέστην,
godlike Teuthras besides and driver-of-horses Orestes
Τρῆχόν τ' αἰχμητὴν Αἰτώλιον Οἰνόμαόν τε,
Trechus and spearman Aetolian Oenomaus and
Οἰνοπίδην θ' Ἕλενον καὶ Ὀρέσβιον αἰολομίτρην,
son-of-Oenops and Helenus and Oresbius with-gleaming-belt
ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλώς,
who then in Hyle dwelt greatly of-wealth mindful
λίμνῃ κεκλιμένος Κηφισίδι· πὰρ δέ οἱ ἄλλοι
on-the-lake sloping Cephisian beside and him other
ναῖον Βοιωτοὶ μάλα πίονα δῆμον ἔχοντες.
dwelt Boeotians very rich land holding

Τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη
Them and when then noticed the-goddess white-armed Hera
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
the-Argives destroying in mighty combat
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
at-once Athena words winged addressed
"ὤ πόποι, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη,
oh for-shame of-aegis-bearing Zeus child Unwearied-one
ἦ ῥ' ἄλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ,
truly then vain the word we-promised to-Menelaus
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
Ilium having-sacked well-walled to-return-home
εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
if thus to-rage we-let baneful Ares
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς."
but come indeed also we-two let-us-be-mindful of-furious courage
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
So she-spoke nor disobeyed the-goddess flashing-eyed Athena
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
she indeed going-about the-golden-frontleted harnessed horses
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
Hera eldest goddess daughter of-great Cronus
Ἥβη δ' ἀμφ' ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα,
Hebe and around the-chariot swiftly put curved wheels
χάλκεα ὀκτάκνημα, σιδηρέῳ ἄξονι ἀμφίς.
bronze eight-spoked iron axle on-either-side
τῶν ἤτοι χρυσέη ἴτυς ἄφθιτος, αὐτὰρ ὕπερθε
of-them truly golden the-felloe imperishable but above
χάλκε' ἐπίσσωτρα προσαρηρότα, θαῦμα ἰδέσθαι·
bronze tires fitted a-wonder to-see

πλῆμναι δ' ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν·
the-naves and of-silver are running-round on-both-sides
δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν
the-car and with-golden and silver thongs
ἐντέταται, δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι.
is-strung two and running-round rails are
τοῦ δ' ἐξ ἀργύρεος ῥυμὸς πέλεν· αὐτὰρ ἐπ' ἄκρῳ
it and from silver the-pole was but at the-end
δῆσε χρύσειον καλὸν ζυγόν, ἐν δὲ λέπαδνα
she-bound golden fair yoke in and the-breast-straps
κάλ' ἔβαλε χρύσει'· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
fair she-cast golden under and the-yoke led Hera
ἵππους ὠκύποδας, μεμαυῖ' ἔριδος καὶ ἀϋτῆς.
the-horses swift-footed eager for-strife and battle-cry

V.10 · HERA AND ATHENA GO TO WAR

Athena arms in her father's tunic with the tasseled aegis and the Gorgon's head, and the gates of heaven open of themselves. Hera asks Zeus whether he is not angry at Ares' slaughter, and he tells her to set Athena on him. The goddesses leave their horses where the Simoeis meets the Scamander. Hera shouts with Stentor's voice to shame the Argives, and Athena finds Diomedes cooling his wound. She taunts him as a lesser son of Tydeus, and he says he is only obeying her order not to fight the gods.

Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
But Athena daughter of-Zeus aegis-bearing
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὖδει,
the-robe indeed let-fall soft of-her-father on the-floor
ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο καὶ κάμε χερσίν·
embroidered which then herself had-made and wrought with-hands

ἡ δὲ χιτῶν᾽ ἐνδῦσα Διὸς νεφεληγερέταο
she and the-tunic putting-on of-Zeus cloud-gatherer
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
in-arms for war armed-herself tearful
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετ᾽ αἰγίδα θυσσανόεσσαν
around and then shoulders she-threw the-aegis tasseled
δεινήν, ἣν περὶ μὲν πάντῃ Φόβος ἐστεφάνωται,
dread which around indeed everywhere Rout is-set-round-as-a-crown
ἐν δ᾽ Ἔρις, ἐν δ᾽ Ἀλκή, ἐν δὲ κρυόεσσα Ἰωκή,
in and Strife in and Valor in and chilling Onset
ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου,
in and — the-Gorgon head of-the-dread monster
δεινή τε σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο.
dread both terrible and of-Zeus a-portent aegis-bearing
κρατὶ δ᾽ ἐπ᾽ ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
head and on two-horned helmet she-put four-plated
χρυσείην, ἑκατὸν πολίων πρυλέεσσ᾽ ἀραρυῖαν·
golden a-hundred of-cities with-foot-soldiers fitted
ἐς δ᾽ ὄχεα φλόγεα ποσὶ βήσετο, λάζετο δ᾽ ἔγχος
into and the-car flaming with-feet she-stepped took and the-spear
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
heavy great sturdy with-which she-subdues the-ranks of-men
ἡρώων, οἷσίν τε κοτέσσεται ὀβριμοπάτρη.
of-heroes with-whom — she-is-angered she-of-the-mighty-father
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ᾽ ἄρ᾽ ἵππους·
Hera and with-the-whip swiftly touched then the-horses
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
of-themselves and the-gates groaned of-heaven which held the-Hours
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,
to-whom is-entrusted great heaven Olympus and

ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.
both to-open the-thick cloud and to-shut
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους·
there then through them goad-urged they-drove the-horses
εὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων
they-found and the-son-of-Cronus from-the-gods apart sitting other
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
on-the-highest peak of-many-ridged Olympus
ἔνθ' ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη
there the-horses halting the-goddess white-armed Hera
Ζῆν' ὕπατον Κρονίδην ἐξείρετο καὶ προσέειπε·
Zeus highest son-of-Cronus questioned and addressed
"Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρῃ τάδε καρτερὰ ἔργα,
Zeus father not are-you-indignant at-Ares for-these violent deeds
ὁσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν
how-great both and what-a he-has-destroyed people of-the-Achaeans
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐμοὶ δ' ἄχος, οἱ δὲ ἔκηλοι
recklessly but not according-to order to-me and grief they and at-ease
τέρπονται Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων,
delight-themselves Cypris both and silver-bowed Apollo
ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔ τινα οἶδε θέμιστα;
mindless this-one having-let-loose who not any knows law
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, αἴ κεν Ἄρηα
Zeus father truly then at-all at-me will-you-be-angry if — Ares
λυγρῶς πεπληγυῖα μάχης ἐξ ἀποδίωμαι;"
grievously having-struck(-him) from-battle out I-chase

Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
"ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην,
come indeed against-him rouse Athena driver-of-spoil
ἥ ἑ μάλιστ' εἴωθε κακῇς ὀδύῃσι πελάζειν."
who him most is-wont with-evil pains to-bring-near
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
So he-spoke nor disobeyed the-goddess white-armed Hera
μάστιξεν δ' ἵππους· τὼ δ' οὐκ ἀέκοντε πετέσθην
she-whipped and the-horses the-two and not unwilling flew
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
between earth both and heaven starry
ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
as-far and into-the-haze a-man sees with-eyes
ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἶνοπα πόντον,
sitting on a-lookout looking over wine-dark sea
τόσσον ἐπιθρῴσκουσι θεῶν ὑψηχέες ἵπποι.
so-far leap of-the-gods the-loud-neighing horses
ἀλλ' ὅτε δὴ Τροίην ἶξον ποταμώ τε ῥέοντε,
but when indeed Troy they-reached the-rivers and flowing
ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,
where the-streams Simoeis join and Scamander
ἔνθ' ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη
there the-horses halted the-goddess white-armed Hera
λύσασ' ἐξ ὀχέων, περὶ δ' ἠέρα πουλὺν ἔχευε·
loosing(-them) from the-chariot around and mist much poured
τοῖσιν δ' ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι.
for-them and ambrosia Simoeis made-spring-up to-graze

Αἱ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι,
They and went to-timorous doves in-gait like
ἀνδράσιν Ἀργείοισιν ἀλεξέμεναι μεμανῖαι·
men Argive to-defend eager
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι πλεῖστοι καὶ ἄριστοι
but when indeed then they-came where most and best
ἕστασαν, ἀμφὶ βίην Διομήδεος ἱπποδάμοιο
stood around the-might of-Diomedes horse-taming
εἰλόμενοι, λείουσιν ἐοικότες ὠμοφάγοισιν
crowding to-lions like raw-eating
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν,
or to-boars wild of-which — the-strength not feeble
ἔνθα στᾶσ' ἤϋσε θεὰ λευκώλενος Ἥρη,
there standing shouted the-goddess white-armed Hera
Στέντορι εἰσαμένη μεγαλήτορι χαλκεοφώνῳ,
to-Stentor likened great-hearted bronze-voiced
ὃς τόσον αὐδήσασχ' ὅσον ἄλλοι πεντήκοντα·
who as-much would-shout as others fifty
"αἰδώς, Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδος ἀγητοί·
shame Argives evil disgraces in-form admirable
ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεύς,
while indeed to war went noble Achilles
οὐδέ ποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
not-even ever the-Trojans before the-gates Dardanian
οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος·
went-out of-that-man for they-feared the-mighty spear
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται."
now and far from-the-city hollow at ships they-fight

Ὣς εἰποῦσ᾽ ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken she-roused the-might and spirit of-each
Τυδεΐδῃ δ᾽ ἐπόρουσε θεὰ γλαυκῶπις Ἀθήνη·
at-the-son-of-Tydeus and sprang the-goddess flashing-eyed Athena
εὗρε δὲ τόν γε ἄνακτα παρ᾽ ἵπποισιν καὶ ὄχεσφιν
she-found and him indeed the-lord beside horses and chariot
ἕλκος ἀναψύχοντα, τό μιν βάλε Πάνδαρος ἰῷ.
the-wound cooling which him struck Pandarus with-arrow
ἱδρὼς γάρ μιν ἔτειρεν ὑπὸ πλατέος τελαμῶνος
sweat for him wore under broad baldric
ἀσπίδος εὐκύκλου· τῷ τείρετο, κάμνε δὲ χεῖρα,
of-the-shield well-rounded by-it he-was-worn grew-weary and in-hand
ἂν δ᾽ ἴσχων τελαμῶνα κελαινεφὲς αἷμ᾽ ἀπομόργνυ.
up and holding the-baldric dark-clouded blood he-wiped-off
ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο φώνησέν τε·
of-the-horses and the-goddess yoke touched spoke and
“ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς.
truly little to-himself a-son like begot Tydeus
Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής·
Tydeus you-know small indeed was in-build but a-fighter
καί ῥ᾽ ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴασκον
even then when indeed him I to-fight not allowed
οὐδ᾽ ἐκπαιφάσσειν, ὅτε τ᾽ ἦλυθε νόσφιν Ἀχαιῶν
nor to-rush-out-flashing when — he-came apart from-the-Achaeans
ἄγγελος ἐς Θήβας πολέας μετὰ Καδμείωνας·
as-messenger to Thebes many among Cadmeians
δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἕκηλον·
to-feast him I-bade in halls at-ease
αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ,
but he spirit having his-own strong as the before indeed

κούρους Καδμείων προκαλίζετο, πάντα δ' ἐνίκα
the-youths of-the-Cadmeans challenged all and he-beat
ῥηϊδίως· τοίη οἱ ἐγὼν ἐπιτάρροθος ἦα.
easily such to-him I a-helper was
σοὶ δ' ἤτοι μὲν ἐγὼ παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω,
to-you and truly indeed I beside — stand and guard
καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι·
and you readily bid with-the-Trojans to-fight
ἀλλά σευ ἢ κάματος πολυάϊξ γυῖα δέδυκεν,
but your either weariness of-much-onset limbs has-entered
ἦ νύ σέ που δέος ἴσχει ἀκήριον· οὐ σύ γ' ἔπειτα
or now you surely fear holds spiritless not you indeed then
Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνεΐδαο."
of-Tydeus offspring are wise of-the-son-of-Oeneus
Τὴν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·
Her and answering addressed mighty Diomedes
"γιγνώσκω σε, θεά, θύγατερ Διὸς αἰγιόχοιο·
I-know you goddess daughter of-Zeus aegis-bearing
τῶ τοι προφρονέως ἐρέω ἔπος οὐδ' ἐπικεύσω.
therefore to-you readily I-will-say a-word nor hide(-it)
οὔτε τί με δέος ἴσχει ἀκήριον οὔτε τις ὄκνος,
neither at-all me fear holds spiritless nor any shrinking
ἀλλ' ἔτι σέων μέμνημαι ἐφετμέων, ἃς ἐπέτειλας·
but still your I-remember behests which you-enjoined
οὔ μ' εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθαι
not me you-allowed with-the-blessed gods face-to-face to-fight
τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
the others but if — of-Zeus daughter Aphrodite
ἔλθῃσ' ἐς πόλεμον, τήν γ' οὐτάμεν ὀξέϊ χαλκῷ.
should-come into war her indeed to-wound with-sharp bronze

τοὔνεκα νῦν αὐτός τ' ἀναχάζομαι ἠδὲ καὶ ἄλλους
therefore now myself both give-way and also others
Ἀργείους ἐκέλευσα ἀλήμεναι ἐνθάδε πάντας·
Argives I-bade to-gather here all
γιγνώσκω γὰρ Ἄρηα μάχην ἀνὰ κοιρανέοντα."
I-recognize for Ares the-battle through lording

V.11 · ARES WOUNDED

Athena tells Diomedes to fear no god, throws Sthenelus out of the chariot, and takes the reins herself, wearing the helmet of Hades so that Ares cannot see her. She turns Ares' spear aside and drives Diomedes' spear into his belly. Ares bellows like ten thousand men and rises to Olympus like a storm cloud. He complains to Zeus of Athena, and Zeus calls him the most hateful of the gods, but has Paeëon heal him because he is his son. Hera and Athena return to Zeus' house, having stopped Ares' slaughter.

Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Him and answered then the-goddess flashing-eyed Athena
"Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
son-of-Tydeus Diomedes my dear to-heart
μήτε σύ γ' Ἄρηα τό γε δείδιθι μήτε τιν' ἄλλον
neither you indeed Ares that indeed fear nor any other
ἀθανάτων· τοίη τοι ἐγὼν ἐπιτάρροθός εἰμι·
of-the-immortals such to-you I a-helper am
ἀλλ' ἄγ' ἐπ' Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους,
but come at Ares first hold the-single-hoofed horses
τύψον δὲ σχεδίην μηδ' ἄζεο θοῦρον Ἄρηα,
strike and at-close-quarters nor revere furious Ares
τοῦτον μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον,
this-one raging a-made-thing evil a-turncoat

ὃς πρώην μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ' ἀγορεύων
who the-other-day indeed to-me both and to-Hera undertook declaring
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν,
against-the-Trojans to-fight but the-Argives to-help
νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται."
now and among the-Trojans he-consorts them and he-has-forgotten
Ὣς φαμένη Σθένελον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε,
So saying Sthenelus indeed from the-horses thrust to-the-ground
χειρὶ πάλιν ἐρύσασ', ὁ δ' ἄρ' ἐμμαπέως ἀπόρουσεν·
with-hand back pulling he and then eagerly sprang-away
ἡ δ' ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
she and into the-chariot went beside Diomedes noble
ἐμμεμαυῖα θεά· μέγα δ' ἔβραχε φήγινος ἄξων
eager the-goddess loudly and groaned the-oaken axle
βριθοσύνῃ· δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρά τ' ἄριστον.
with-the-weight dread for it-carried a-goddess man and best
λάζετο δὲ μάστιγα καὶ ἡνία Παλλὰς Ἀθήνη·
took and the-whip and the-reins Pallas Athena
αὐτίκ' ἐπ' Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους.
at-once at Ares first she-held the-single-hoofed horses
ἤτοι ὁ μὲν Περίφαντα πελώριον ἐξενάριζεν,
truly he indeed Periphas huge was-stripping
Αἰτωλῶν ὄχ' ἄριστον, Ὀχησίου ἀγλαὸν υἱόν·
of-the-Aetolians by-far best of-Ochesius glorious son
τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος· αὐτὰρ Ἀθήνη
him indeed Ares was-stripping blood-stained but Athena
δῦν' Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης.
put-on of-Hades the-helmet lest her should-see mighty Ares

Ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον,
As and saw man-destroying Ares Diomedes noble
ἦτοι ὁ μὲν Περίφαντα πελώριον αὐτόθ' ἔασε
truly he indeed Periphas huge there let
κεῖσθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν,
lie where first killing(-him) he-took-away life
αὐτὰρ ὁ βῆ ῥ' ἰθὺς Διομήδεος ἱπποδάμοιο.
but he went then straight of-Diomedes horse-taming
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
they and when indeed near were against each-other going
πρόσθεν Ἄρης ὠρέξαθ' ὑπὲρ ζυγὸν ἡνία θ' ἵππων
first Ares lunged over the-yoke the-reins and of-the-horses
ἔγχεϊ χαλκείῳ, μεμαὼς ἀπὸ θυμὸν ἑλέσθαι·
with-spear bronze eager away life to-take
καὶ τό γε χειρὶ λαβοῦσα θεὰ γλαυκῶπις Ἀθήνη
and it indeed with-hand taking the-goddess flashing-eyed Athena
ὦσεν ὑπὲκ δίφροιο ἐτώσιον ἀϊχθῆναι.
thrust(-it) out-from-under the-chariot vainly to-be-darted
δεύτερος αὖθ' ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης
second in-turn rushed at-the-war-cry good Diomedes
ἔγχεϊ χαλκείῳ· ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη
with-spear bronze leaned-on(-it) and Pallas Athena
νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρῃ·
lowest into the-flank where he-was-girt with-the-guard
τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν,
there then him wounded hitting(-him) through and the-flesh fair tore
ἐκ δὲ δόρυ σπάσεν αὖτις· ὁ δ' ἔβραχε χάλκεος Ἄρης,
out and the-spear he-drew again he and bellowed bronze Ares

ὅσσόν τ᾽ ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
as-loud-as — nine-thousand shout or ten-thousand
ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες Ἄρηος.
men in war strife joining of-Ares
τοὺς δ᾽ ἄρ᾽ ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε
them and then under trembling seized Achaeans both Trojans and
δείσαντας· τόσον ἔβραχ᾽ Ἄρης ἆτος πολέμοιο.
fearing so-loud bellowed Ares insatiate of-war
Οἵη δ᾽ ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ
As and out-of the-clouds dark appears air
καύματος ἐξ ἀνέμοιο δυσαέος ὀρνυμένοιο,
heat after wind ill-blowing rising
τοῖος Τυδεΐδῃ Διομήδεϊ χάλκεος Ἄρης
such to-the-son-of-Tydeus Diomedes bronze Ares
φαίνεθ᾽ ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.
appeared together with-clouds going to heaven broad
καρπαλίμως δ᾽ ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,
swiftly and he-reached of-the-gods the-seat steep Olympus
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων,
beside and Zeus son-of-Cronus sat at-heart grieving
δεῖξεν δ᾽ ἄμβροτον αἷμα καταρρέον ἐξ ὠτειλῆς,
he-showed and immortal blood flowing-down from the-wound
καί ῥ᾽ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
and then lamenting words winged addressed
“Ζεῦ πάτερ, οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
Zeus father not are-you-indignant seeing these violent deeds
αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν
always you-know most-chilling-things we-gods having-endured are
ἀλλήλων ἰότητι, χάριν ἄνδρεσσι φέροντες.
of-each-other by-the-will favor to-men bringing

σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα κούρην,
with-you all we-fight you for begot a-senseless daughter
οὐλομένην, ἣ τ' αἰὲν ἀήσυλα ἔργα μέμηλεν.
accursed to-whom — always lawless deeds are-a-care
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
others indeed for all as-many-as gods are on Olympus
σοί τ' ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος·
you both obey and we-are-subdued each
ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι οὔτε τι ἔργῳ,
her and neither with-word you-oppose nor at-all with-deed
ἀλλ' ἀνιεῖς, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον·
but you-let(-her-be) since yourself begot a-child destructive
ἣ νῦν Τυδέος υἱόν, ὑπερφίαλον Διομήδεα,
who now of-Tydeus the-son overweening Diomedes
μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοισι θεοῖσι.
to-rage let-loose against the-immortal gods
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ,
Cypris indeed first near he-wounded the-hand at the-wrist
αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος·
but then myself at-me he-rushed-on to-a-divinity equal
ἀλλά μ' ὑπήνεικαν ταχέες πόδες· ἦ τέ κε δηρὸν
but me carried-away swift feet truly — — long
αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσιν,
there pains I-would-have-suffered among dread heaps-of-dead
ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι."
or — alive strengthless I-would-be by-the-bronze's blows

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη νεφεληγερέτα Ζεύς·
Him and then from-under looking addressed cloud-gatherer Zeus
"μή τί μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε.
not at-all to-me turncoat sitting-beside whine

ἔχθιστος δέ μοί ἐσσι θεῶν οἳ Ὄλυμπον ἔχουσιν·
most-hateful and to-me you-are of-the-gods who Olympus hold
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε.
always for to-you strife both dear wars and battles and
μητρός τοι μένος ἐστὶν ἀάσχετον, οὐκ ἐπιεικτόν,
of-your-mother you-know the-might is unrestrainable not yielding
Ἥρης· τὴν μὲν ἐγὼ σπουδῇ δάμνημ' ἐπέεσσι·
of-Hera her indeed I with-difficulty subdue with-words
τῷ σ' ὀΐω κείνης τάδε πάσχειν ἐννεσίῃσιν.
therefore you I-think her these-things to-suffer through-promptings
ἀλλ' οὐ μάν σ' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
but not indeed you longer long I-will-endure pains having
ἐκ γὰρ ἐμεῦ γένος ἐσσί, ἐμοὶ δέ σε γείνατο μήτηρ·
from for me in-birth you-are to-me and you bore mother
εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ' ἀΐδηλος,
if and any from other indeed of-the-gods you-were-born so destructive
καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων."
and — indeed long-ago you-would-be lower than-the-sons-of-Heaven
Ὣς φάτο, καὶ Παιήον' ἀνώγειν ἰήσασθαι·
So he-spoke and Paeëon bade to-heal(-him)
τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων
for-him and on Paeëon pain-killing drugs sprinkling
ἠκέσατ'· οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο.
healed(-him) not indeed for at-all mortal indeed he-had-been-made
ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν
as and when fig-juice milk white hastening curdles
ὑγρὸν ἐόν, μάλα δ' ὦκα περιτρέφεται κυκόωντι,
liquid being very and quickly it-thickens for-the-one-stirring
ὣς ἄρα καρπαλίμως ἰήσατο θοῦρον Ἄρηα.
so then swiftly he-healed furious Ares

τὸν δ᾽ Ἥβη λοῦσεν, χαρίεντα δὲ εἵματα ἕσσε· 905
him and Hebe bathed graceful and garments clothed(-him)
πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
beside and Zeus son-of-Cronus sat in-glory exulting
Αἱ δ᾽ αὖτις πρὸς δῶμα Διὸς μεγάλοιο νέοντο,
They and again to the-house of-Zeus great returned
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηΐς Ἀθήνη,
Hera both Argive and Alalcomenean Athena
παύσασαι βροτολοιγὸν Ἄρη᾽ ἀνδροκτασιάων.
having-stopped man-destroying Ares from-man-slayings

BOOK VI

VI.1 · ADRASTUS SPARED AND KILLED

With the gods gone, the battle surges over the plain between the Simoeis and the Xanthus. Ajax kills Acamas, Diomedes kills the hospitable Axylus and his driver, and other Achaeans kill eleven more. Menelaus captures Adrastus, whose horses have broken his chariot on a tamarisk, and is about to accept his offer of ransom. Agamemnon runs up and tells him that no Trojan should escape, not even the boy in his mother's womb, and spears Adrastus himself. Nestor tells the army to kill now and strip the dead later.

Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή·
Of-the-Trojans and was-left-alone and of-the-Achaeans the-battle dread
πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθ' ἴθυσε μάχη πεδίοιο
much and then here and there surged the-fight over-the-plain
ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
at-each-other aiming bronze-tipped spears
μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων.
between of-the-Simoeis and of-Xanthus the-streams
Αἴας δὲ πρῶτος Τελαμώνιος, ἕρκος Ἀχαιῶν,
Ajax and first Telamonian bulwark of-the-Achaeans
Τρώων ῥῆξε φάλαγγα, φόως δ' ἑτάροισιν ἔθηκεν,
of-the-Trojans broke the-rank light and for-his-comrades made
ἄνδρα βαλὼν ὃς ἄριστος ἐνὶ Θρήκεσσι τέτυκτο,
a-man striking who best among the-Thracians had-been-made
υἱὸν Ἠϋσσώρου, Ἀκάμαντ' ἠΰν τε μέγαν τε.
son of-Eussorus Acamas noble both tall and
τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης,
him then he-struck first of-the-helmet on-the-horn horsehair-crested

ἐν δὲ μετώπῳ πῆξε, πέρησε δ᾽ ἄρ᾽ ὀστέον εἴσω
in and the-forehead fixed(-it) pierced and then the-bone inward
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
the-point bronze him and darkness the-eyes covered
Ἄξυλον δ᾽ ἄρ᾽ ἔπεφνε βοὴν ἀγαθὸς Διομήδης
Axylus and then killed at-the-war-cry good Diomedes
Τευθρανίδην, ὃς ἔναιεν ἐϋκτιμένῃ ἐν Ἀρίσβῃ
son-of-Teuthras who dwelt well-built in Arisbe
ἀφνειὸς βιότοιο, φίλος δ᾽ ἦν ἀνθρώποισι·
rich in-livelihood dear and he-was to-men
πάντας γὰρ φιλέεσκεν ὁδῷ ἔπι οἰκία ναίων.
all for he-used-to-befriend the-road by houses dwelling
ἀλλά οἱ οὔ τις τῶν γε τότ᾽ ἤρκεσε λυγρὸν ὄλεθρον
but for-him not any of-those indeed then warded-off grievous destruction
πρόσθεν ὑπαντιάσας, ἀλλ᾽ ἄμφω θυμὸν ἀπηύρα,
before(-him) meeting(-the-foe) but both life he-took-from
αὐτὸν καὶ θεράποντα Καλήσιον, ὅς ῥα τόθ᾽ ἵππων
himself and the-attendant Calesius who then at-that-time of-the-horses
ἔσκεν ὑφηνίοχος· τὼ δ᾽ ἄμφω γαῖαν ἐδύτην.
was driver the-two and both the-earth entered
Δρῆσον δ᾽ Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξε·
Dresus and Euryalus and Opheltius stripped
βῆ δὲ μετ᾽ Αἴσηπον καὶ Πήδασον, οὕς ποτε νύμφη
he-went and after Aesepus and Pedasus whom once a-nymph
νηΐς Ἀβαρβαρέη τέκ᾽ ἀμύμονι Βουκολίωνι.
a-naiad Abarbarea bore to-blameless Bucolion
Βουκολίων δ᾽ ἦν υἱὸς ἀγαυοῦ Λαομέδοντος
Bucolion and was son of-lordly Laomedon
πρεσβύτατος γενεῇ, σκότιον δέ ἑ γείνατο μήτηρ·
eldest in-birth in-secret and him bore mother

ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη φιλότητι καὶ εὐνῇ,
shepherding and over the-sheep he-lay-with(-her) in-love and bed
ἡ δ' ὑποκυσαμένη διδυμάονε γείνατο παῖδε.
she and having-conceived twin bore sons
καὶ μὲν τῶν ὑπέλυσε μένος καὶ φαίδιμα γυῖα
and indeed of-them loosed the-might and shining limbs
Μηκιστηϊάδης καὶ ἀπ' ὤμων τεύχε' ἐσύλα.
the-son-of-Mecisteus and from the-shoulders the-arms stripped
Ἀστύαλον δ' ἄρ' ἔπεφνε μενεπτόλεμος Πολυποίτης·
Astyalus and then killed steadfast-in-war Polypoetes
Πιδύτην δ' Ὀδυσεὺς Περκώσιον ἐξενάριξεν
Pidytes and Odysseus Percosian stripped
ἔγχεϊ χαλκείῳ, Τεῦκρος δ' Ἀρετάονα δῖον.
with-spear bronze Teucer and Aretaon noble
Ἀντίλοχος δ' Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ
Antilochus and Ablerus slew with-spear shining
Νεστορίδης, Ἔλατον δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
son-of-Nestor Elatus and lord of-men Agamemnon
ναῖε δὲ Σατνιόεντος ἐϋρρείταο παρ' ὄχθας
he-dwelt and of-Satnioeis fair-flowing beside the-banks
Πήδασον αἰπεινήν. Φύλακον δ' ἕλε Λήϊτος ἥρως
Pedasus steep Phylacus and took Leitus hero
φεύγοντ'· Εὐρύπυλος δὲ Μελάνθιον ἐξενάριξεν.
fleeing Eurypylus and Melanthius stripped
Ἄδρηστον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
Adrastus and then thereafter at-the-war-cry good Menelaus
ζωὸν ἕλ'· ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο,
alive took the-horses for his bewildered over-the-plain

ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ, ἀγκύλον ἅρμα
a-branch in caught tamarisk the-curved chariot
ἄξαντ᾽ ἐν πρώτῳ ῥυμῷ αὐτὼ μὲν ἐβήτην
having-broken at the-front of-the-pole themselves indeed went
πρὸς πόλιν, ᾗ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο,
to the-city where indeed the others bewildered were-fleeing
αὐτὸς δ᾽ ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη
himself and from the-chariot beside the-wheel rolled-out
πρηνὴς ἐν κονίῃσιν ἐπὶ στόμα· πὰρ δέ οἱ ἔστη
headlong in the-dust on mouth beside and him stood
Ἀτρεΐδης Μενέλαος, ἔχων δολιχόσκιον ἔγχος.
the-son-of-Atreus Menelaus holding long-shadowed spear
Ἄδρηστος δ᾽ ἄρ᾽ ἔπειτα λαβὼν ἐλίσσετο γούνων·
Adrastus and then thereafter clasping begged by-the-knees
“ζώγρει, Ἀτρέος υἱέ, σὺ δ᾽ ἄξια δέξαι ἄποινα·
take-alive of-Atreus son you and worthy accept ransom
πολλὰ δ᾽ ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται,
many and in rich father's treasures lie
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
bronze both gold and much-wrought and iron
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι᾽ ἄποινα,
of-these — to-you would-grant the-father boundless ransom
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ᾽ ἐπὶ νηυσὶν Ἀχαιῶν.”
if — me alive he-should-learn-of at the-ships of-the-Achaeans
Ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε·
So he-spoke of-him and then the-heart in breast he-persuaded
καὶ δή μιν τάχ᾽ ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
and indeed him soon he-was-about swift to ships of-the-Achaeans

δώσειν ᾧ θεράποντι καταξέμεν· ἀλλ᾽ Ἀγαμέμνων
to-give to-his-own attendant to-take-down but Agamemnon
ἀντίος ἦλθε θέων, καὶ ὁμοκλήσας ἔπος ηὔδα·
facing came running and having-shouted word spoke
"ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κήδεαι οὕτως
O soft-one O Menelaus why and you care so
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ οἶκον
for-men truly to-you best-things have-been-done in house
πρὸς Τρώων; τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
by the-Trojans of-them let-not anyone escape sheer destruction
χειρός θ᾽ ἡμετέρας, μηδ᾽ ὅν τινα γαστέρι μήτηρ
hands and our not-even whom any in-the-belly a-mother
κοῦρον ἐόντα φέροι, μηδ᾽ ὃς φύγοι, ἀλλ᾽ ἅμα πάντες
a-boy being carries not-even he escape but together all
Ἰλίου ἐξαπολοίατ᾽ ἀκήδεστοι καὶ ἄφαντοι."
of-Ilium let-them-perish-utterly unmourned and unseen

Ὣς εἰπὼν ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως,
So having-spoken he-turned of-his-brother the-mind the-hero
αἴσιμα παρειπών· ὁ δ᾽ ἀπὸ ἕθεν ὤσατο χειρὶ
fitting-things advising he and from himself thrust with-hand
ἥρω᾽ Ἄδρηστον· τὸν δὲ κρείων Ἀγαμέμνων
the-hero Adrastus him and lord Agamemnon
οὖτα κατὰ λαπάρην· ὁ δ᾽ ἀνετράπετ᾽, Ἀτρεΐδης δὲ
wounded in the-flank he and fell-back the-son-of-Atreus and
λὰξ ἐν στήθεσι βὰς ἐξέσπασε μείλινον ἔγχος.
with-the-heel on chest stepping drew-out the-ashen spear

Νέστωρ δ᾽ Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Nestor and to-the-Argives called loudly shouting
"ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
O friends heroes Danaans attendants of-Ares

μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθε
let-not anyone now on-the-spoils throwing-himself behind
μιμνέτω, ὥς κε πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
stay so-that — most carrying to the-ships he-may-come
ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
but men let-us-kill then and also these at-ease
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας."
the-corpses over the-plain you-will-strip dead

VI.2 · HELENUS' ADVICE

The Trojans would have fled into the city had the seer Helenus not told Aeneas and Hector to rally the army at the gates. He bids Hector go into Troy and tell their mother to lay the finest robe she has on Athena's knees and promise twelve heifers, if the goddess will keep Diomedes from the city. Hector rallies the Trojans, who turn and face the Achaeans, and the Argives give way, thinking some god has come down from heaven to help the Trojans. Then Hector goes to the city, his shield's rim knocking at his ankles and neck.

Ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken he-roused the-might and spirit of-each
ἔνθα κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
then — in-turn the-Trojans dear-to-Ares by the-Achaeans
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες,
Ilium would-have-gone-up-into by-cowardice subdued
εἰ μὴ ἄρ' Αἰνείᾳ τε καὶ Ἕκτορι εἶπε παραστὰς
if not then to-Aeneas both and to-Hector had-spoken standing-beside
Πριαμίδης Ἕλενος, οἰωνοπόλων ὄχ' ἄριστος·
son-of-Priam Helenus of-bird-diviners by-far best

“Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Aeneas both and Hector since the-toil on-you most
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ’ ἄριστοι
of-Trojans and of-Lycians leans because best
πᾶσαν ἐπ’ ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
every on purpose you-are to-fight both to-think and
στῆτ’ αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
stand there and the-people hold-back before the-gates
πάντῃ ἐποιχόμενοι, πρὶν αὖτ’ ἐν χερσὶ γυναικῶν
everywhere going-about before in-turn in the-arms of-the-women
φεύγοντας πεσέειν, δηΐοισι δὲ χάρμα γενέσθαι.
fleeing to-fall for-the-foes and a-joy to-become
αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
but when — the-ranks you-have-urged all
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ’ αὖθι μένοντες,
we indeed with-the-Danaans will-fight there staying
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·
even very worn though necessity for presses
Ἕκτορ, ἀτὰρ σὺ πόλινδε μετέρχεο, εἰπὲ δ’ ἔπειτα
Hector but you to-the-city go speak and then
μητέρι σῇ καὶ ἐμῇ· ἡ δὲ ξυνάγουσα γεραιὰς
to-mother your and mine she and gathering the-old-women
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ,
to-the-temple of-Athena flashing-eyed in the-city at-the-top
οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο,
opening with-the-key the-doors of-the-holy house
πέπλον, ὅς οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
the-robe which to-her seems most-graceful and greatest
εἶναι ἐνὶ μεγάρῳ καί οἱ πολὺ φίλτατος αὐτῇ,
to-be in the-hall and to-her by-far dearest herself

θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
let-her-lay of-Athena on the-knees lovely-haired
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
and to-her let-her-promise twelve cows in the-temple
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσῃ
yearling never-goaded to-sacrifice if — she-will-pity
ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
the-town both and of-the-Trojans the-wives and infant children
ὥς κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου ἱρῆς,
so-that — of-Tydeus the-son she-may-keep-back from-Ilium sacred
ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο,
savage spearman mighty deviser of-rout
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημι γενέσθαι.
whom indeed I mightiest of-the-Achaeans say to-have-become
οὐδ' Ἀχιλῆά ποθ' ὧδέ γ' ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν,
not-even Achilles ever so indeed did-we-fear leader of-men
ὅν πέρ φασι θεᾶς ἐξ ἔμμεναι· ἀλλ' ὅδε λίην
whom indeed they-say a-goddess from to-be but this-one exceedingly
μαίνεται, οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν."
rages nor any him is-able in-might to-match
Ὣς ἔφαθ', Ἕκτωρ δ' οὔ τι κασιγνήτῳ ἀπίθησεν.
So he-spoke Hector and not at-all his-brother disobeyed
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε,
at-once and from the-chariot with arms he-leapt to-the-ground
πάλλων δ' ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ,
brandishing and sharp spears through the-host he-went everywhere
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
urging(-them) to-fight he-roused and battle dread
οἱ δ' ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν·
they and rallied and facing stood of-the-Achaeans

Ἀργεῖοι δ' ὑπεχώρησαν, λῆξαν δὲ φόνοιο,
the-Argives and gave-way ceased and from-slaughter
φὰν δέ τιν' ἀθανάτων ἐξ οὐρανοῦ ἀστερόεντος
thought and some of-the-immortals from heaven starry
Τρωσὶν ἀλεξήσοντα κατελθέμεν, ὡς ἐλέλιχθεν.
the-Trojans to-defend to-have-come-down so they-rallied
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Hector and to-the-Trojans called loudly shouting
"Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
Trojans high-spirited far-famed and allies
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
men be friends be-mindful and of-furious courage
ὄφρ' ἂν ἐγὼ βήω προτὶ Ἴλιον, ἠδὲ γέρουσιν
while — I go to Ilium and to-the-elders
εἴπω βουλευτῆσι καὶ ἡμετέρῃς ἀλόχοισι
tell the-councilors and our wives
δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας."
to-the-divinities to-pray to-promise and hecatombs
Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·
So then having-spoken departed helmet-flashing Hector
ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινόν,
around and him the-ankles struck and the-neck the-hide black
ἄντυξ ἣ πυμάτη θέεν ἀσπίδος ὁμφαλοέσσης.
the-rim which outermost ran of-the-shield bossed

Diomedes meets Glaucus between the armies and asks who he is, for he will not fight a god, as Lycurgus did and was blinded. Glaucus answers that men's generations are like leaves and traces his descent from Sisyphus. His grandfather Bellerophon, falsely accused by Proetus' wife, is sent to Lycia with murderous signs, kills the Chimaera and the Amazons, and wins the king's daughter. Hated later by the gods, he wanders alone, and Ares and Artemis kill two of his children. His son Hippolochus sends Glaucus to Troy to be always the best.

Γλαῦκος δ' Ἱππολόχοιο πάϊς καὶ Τυδέος υἱὸς
Glaucus and of-Hippolochus the-son and of-Tydeus the-son
ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι.
into the-middle of-both came-together eager to-fight
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντε,
they and when indeed near were against each-other going
τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Διομήδης·
him first addressed at-the-war-cry good Diomedes
"τίς δὲ σύ ἐσσι, φέριστε, καταθνητῶν ἀνθρώπων;
who and you are mightiest of-mortal men
οὐ μὲν γάρ ποτ' ὄπωπα μάχῃ ἔνι κυδιανείρῃ
not indeed for ever I-have-seen(-you) battle in glory-giving
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκας ἁπάντων
the before but indeed now indeed far you-have-gone-ahead of-all
σῷ θάρσει, ὅ τ' ἐμὸν δολιχόσκιον ἔγχος ἔμεινας·
in-your boldness that — my long-shadowed spear you-awaited
δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν.
of-unhappy and — the-children my might meet
εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰλήλουθας,
if and some of-the-immortals indeed down-from heaven you-have-come

οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.
not — I-indeed with-gods heavenly would-fight
οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός, κρατερὸς Λυκόοργος,
not-even for not-even of-Dryas the-son mighty Lycurgus
δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν·
long lived who then with-the-gods heavenly strove
ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
who once of-raging Dionysus the-nurses
σεῦε κατ' ἠγάθεον Νυσήϊον· αἱ δ' ἅμα πᾶσαι
drove down most-holy Nysa they and together all
θύσθλα χαμαὶ κατέχευαν, ὑπ' ἀνδροφόνοιο Λυκούργου
the-wands to-the-ground let-fall under man-slaying Lycurgus
θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθεὶς
struck with-an-ox-goad Dionysus and terrified
δύσεθ' ἁλὸς κατὰ κῦμα, Θέτις δ' ὑπεδέξατο κόλπῳ
plunged of-the-sea into the-wave Thetis and received(-him) in-her-bosom
δειδιότα· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ.
fearing mighty for held(-him) trembling at-the-man's shout
τῷ μὲν ἔπειτ' ὀδύσαντο θεοὶ ῥεῖα ζώοντες,
with-him indeed then were-angered the-gods easily living
καί μιν τυφλὸν ἔθηκε Κρόνου πάϊς· οὐδ' ἄρ' ἔτι δὴν
and him blind made of-Cronus the-son nor then longer long
ἦν, ἐπεὶ ἀθανάτοισιν ἀπήχθετο πᾶσι θεοῖσιν·
did-he-live since to-the-immortals he-was-hated all gods
οὐδ' ἂν ἐγὼ μακάρεσσι θεοῖς ἐθέλοιμι μάχεσθαι.
nor — I with-the-blessed gods would-wish to-fight
εἰ δέ τίς ἐσσι βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσιν,
if and any you-are of-mortals who of-the-field the-fruit eat
ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι."
nearer come so-that — the-sooner of-destruction the-bounds you-may-reach

Τὸν δ' αὖθ' Ἱππολόχοιο προσηύδα φαίδιμος υἱός·
Him and in-turn of-Hippolochus addressed glorious son
"Τυδεΐδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
son-of-Tydeus great-hearted why (my)-generation do-you-ask
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.
as indeed of-leaves the-generation such and also of-men
φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
the-leaves some indeed — the-wind to-the-ground sheds others and — the-forest
τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη·
burgeoning puts-forth of-spring and comes-on the-season
ὣς ἀνδρῶν γενεὴ ἡ μὲν φύει ἡ δ' ἀπολήγει.
so of-men the-generation one indeed grows one and ceases
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐῢ εἰδῇς
if and you-wish also these-things to-learn so-that well you-may-know
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν·
our generation many and it men know
ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο,
there-is a-city Ephyra in-a-corner of-Argos horse-pasturing
ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν,
there and Sisyphus was who craftiest was of-men
Σίσυφος Αἰολίδης· ὁ δ' ἄρα Γλαῦκον τέκεθ' υἱόν,
Sisyphus son-of-Aeolus he and then Glaucus begot as-son
αὐτὰρ Γλαῦκος τίκτεν ἀμύμονα Βελλεροφόντην·
but Glaucus begot blameless Bellerophon
τῷ δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατεινὴν
to-him and the-gods beauty both and manliness lovely
ὤπασαν· αὐτάρ οἱ Προῖτος κακὰ μήσατο θυμῷ,
granted but against-him Proetus evils devised in-heart
ὅς ῥ' ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
who then from the-land drove(-him) since much mightier he-was

Ἀργείων· Ζεὺς γάρ οἱ ὑπὸ σκήπτρῳ ἐδάμασσε.
of-the-Argives Zeus for to-him under staff subdued
τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο, δῖ' Ἄντεια
for-him and the-wife of-Proetus went-mad noble Anteia
κρυπταδίῃ φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
in-secret love to-lie-with(-him) but him not at-all
πεῖθ' ἀγαθὰ φρονέοντα, δαΐφρονα Βελλεροφόντην.
she-persuaded good-things thinking wise Bellerophon
ἡ δὲ ψευσαμένη Προῖτον βασιλῆα προσηύδα·
she and lying Proetus the-king addressed
'τεθναίης, ὦ Προῖτ', ἢ κάκτανε Βελλεροφόντην,
may-you-die O Proetus or kill Bellerophon
ὅς μ' ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ.'
who me wished in-love to-lie-with not willing
ὣς φάτο, τὸν δὲ ἄνακτα χόλος λάβεν οἷον ἄκουσε·
so she-spoke him and the-lord anger seized such-as he-heard
κτεῖναι μέν ῥ' ἀλέεινε, σεβάσσατο γὰρ τό γε θυμῷ,
to-kill indeed then he-shrank-from he-had-awe-of for this indeed in-heart
πέμπε δέ μιν Λυκίηνδε, πόρεν δ' ὅ γε σήματα λυγρά,
he-sent and him to-Lycia gave and he indeed signs baneful
γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά,
having-scratched in a-tablet folded heart-destroying many
δεῖξαι δ' ἠνώγειν ᾧ πενθερῷ, ὄφρ' ἀπόλοιτο.
to-show and he-bade to-his-own father-in-law so-that he-might-perish
αὐτὰρ ὁ βῆ Λυκίηνδε θεῶν ὑπ' ἀμύμονι πομπῇ.
but he went to-Lycia of-the-gods under blameless escort
ἀλλ' ὅτε δὴ Λυκίην ἶξε Ξάνθον τε ῥέοντα,
but when indeed Lycia he-reached Xanthus and flowing
προφρονέως μιν τῖεν ἄναξ Λυκίης εὐρείης·
readily him honored the-lord of-Lycia broad

ἐννῆμαρ ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσεν.
nine-days he-entertained(-him) and nine oxen sacrificed
ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλος Ἠώς,
but when indeed the-tenth appeared rosy-fingered Dawn
καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε σῆμα ἰδέσθαι,
and then him he-questioned and asked the-sign to-see
ὅττι ῥά οἱ γαμβροῖο πάρα Προίτοιο φέροιτο.
whatever then his son-in-law from Proetus he-brought
αὐτὰρ ἐπεὶ δὴ σῆμα κακὸν παρεδέξατο γαμβροῦ,
but when indeed the-sign evil he-received of-the-son-in-law
πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην ἐκέλευσε
first indeed then the-Chimaera invincible he-bade(-him)
πεφνέμεν· ἡ δ᾽ ἄρ᾽ ἔην θεῖον γένος, οὐδ᾽ ἀνθρώπων,
to-slay she and then was divine race nor of-men
πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
before a-lion behind and a-serpent in-the-middle and a-she-goat
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο,
dreadfully breathing-out of-fire the-might blazing
καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας·
and her indeed he-slew of-the-gods to-the-portents obeying
δεύτερον αὖ Σολύμοισι μαχέσσατο κυδαλίμοισι·
second in-turn with-the-Solymi he-fought glorious
καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν.
mightiest indeed that indeed battle he-said to-have-entered of-men
τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας.
the third in-turn he-slew the-Amazons a-match-for-men
τῷ δ᾽ ἄρ᾽ ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε·
for-him and then returning a-close trick other he-wove

κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους
choosing from Lycia broad men the-best
εἷσε λόχον· τοὶ δ' οὔ τι πάλιν οἶκόνδε νέοντο·
he-set an-ambush they and not at-all back homeward returned
πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης.
all for slew blameless Bellerophon
ἀλλ' ὅτε δὴ γίγνωσκε θεοῦ γόνον ἠΰν ἐόντα,
but when indeed he-knew of-a-god the-offspring noble being
αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅ γε θυγατέρα ἣν,
there him he-detained gave and he indeed daughter his-own
δῶκε δέ οἱ τιμῆς βασιληΐδος ἥμισυ πάσης·
gave and him of-honor royal half all
καὶ μέν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων,
and indeed for-him the-Lycians a-precinct cut-out outstanding of-others
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμοιτο.
fair of-orchard and of-plowland so-that he-might-till(-it)
ἡ δ' ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ,
she and bore three children to-wise Bellerophon
Ἴσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.
Isander both and Hippolochus and Laodameia
Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύς,
with-Laodameia indeed lay counselor Zeus
ἡ δ' ἔτεκ' ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν.
she and bore godlike Sarpedon bronze-helmeted
ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν,
but when indeed also he was-hated by-all the-gods
ἤτοι ὁ κὰπ πεδίον τὸ Ἀλήϊον οἷος ἀλᾶτο,
truly he down the-plain the Aleian alone wandered
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων·
his-own heart devouring the-path of-men shunning

Ἴσανδρον δέ οἱ υἱὸν Ἄρης ἆτος πολέμοιο
Isander and his son Ares insatiate of-war
μαρνάμενον Σολύμοισι κατέκτανε κυδαλίμοισι·
fighting with-the-Solymi killed glorious
τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα.
her and angered with-golden-reins Artemis killed
Ἱππόλοχος δέ μ᾽ ἔτικτε, καὶ ἐκ τοῦ φημι γενέσθαι·
Hippolochus and me begot and from him I-say to-have-been-born
πέμπε δέ μ᾽ ἐς Τροίην, καί μοι μάλα πόλλ᾽ ἐπέτελλεν,
he-sent and me to Troy and to-me very many-things enjoined
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων,
always to-be-best and pre-eminent to-be of-others
μηδὲ γένος πατέρων αἰσχυνέμεν, οἳ μέγ᾽ ἄριστοι
nor the-race of-my-fathers to-shame who greatly best
ἔν τ᾽ Ἐφύρῃ ἐγένοντο καὶ ἐν Λυκίῃ εὐρείῃ.
in both Ephyra were-born and in Lycia broad
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.”
of-this you-know generation both and blood I-claim to-be

Diomedes plants his spear and tells Glaucus that they are guest-friends, since Oeneus once entertained Bellerophon; they agree to avoid each other in battle and exchange armor. Zeus takes Glaucus' wits, and he gives gold for bronze. At the Scaean gates Hector tells the Trojan women to pray. At Priam's palace Hecuba offers him wine, but he will not pour it with bloody hands. He sends her to Athena with her finest robe and says he will fetch Paris. Theano lays the robe on the goddess' knees, and Athena refuses the prayer.

Ὣς φάτο, γήθησεν δὲ βοὴν ἀγαθὸς Διομήδης·
So he-spoke rejoiced and at-the-war-cry good Diomedes
ἔγχος μὲν κατέπηξεν ἐπὶ χθονὶ πουλυβοτείρῃ,
the-spear indeed he-planted on earth much-nourishing
αὐτὰρ ὁ μειλιχίοισι προσηύδα ποιμένα λαῶν·
but he with-gentle(-words) addressed the-shepherd of-the-people
"ὦ ῥά νύ μοι ξεῖνος πατρώϊός ἐσσι παλαιός·
truly then now to-me guest-friend of-my-father you-are old
Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην
Oeneus for once noble blameless Bellerophon
ξείνισ' ἐνὶ μεγάροισιν ἐείκοσιν ἤματ' ἐρύξας·
entertained in halls twenty days keeping(-him)
οἱ δὲ καὶ ἀλλήλοισι πόρον ξεινήϊα καλά·
they and also to-each-other gave guest-gifts fair
Οἰνεὺς μὲν ζωστῆρα δίδου φοίνικι φαεινόν,
Oeneus indeed a-belt gave with-purple shining
Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον,
Bellerophon and a-golden cup two-handled
καί μιν ἐγὼ κατέλειπον ἰὼν ἐν δώμασ' ἐμοῖσι.
and it I left going in house my

Τυδέα δ' οὐ μέμνημαι, ἐπεί μ' ἔτι τυτθὸν ἐόντα
Tydeus and not I-remember since me still small being
κάλλιφ', ὅτ' ἐν Θήβῃσιν ἀπώλετο λαὸς Ἀχαιῶν.
he-left when in Thebes perished the-army of-the-Achaeans
τῶ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ
therefore now for-you indeed I guest-friend dear in-Argos mid
εἰμί, σὺ δ' ἐν Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι.
am you and in Lycia when — of-them the-land I-reach
ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου·
spears and each-other's let-us-shun even through the-throng
πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ' ἐπίκουροι
many indeed for for-me Trojans famed and allies
κτείνειν ὅν κε θεός γε πόρῃ καὶ ποσσὶ κιχείω,
to-kill whom — a-god indeed grants and with-feet I-overtake
πολλοὶ δ' αὖ σοὶ Ἀχαιοὶ ἐναιρέμεν ὅν κε δύνηαι.
many and in-turn for-you Achaeans to-slay whom — you-can
τεύχεα δ' ἀλλήλοις ἐπαμείψομεν, ὄφρα καὶ οἵδε
arms and with-each-other let-us-exchange so-that also these
γνῶσιν ὅτι ξεῖνοι πατρώϊοι εὐχόμεθ' εἶναι."
may-know that guest-friends of-our-fathers we-claim to-be
Ὣς ἄρα φωνήσαντε, καθ' ἵππων ἀΐξαντε,
So then having-spoken from the-horses leaping-down
χεῖράς τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο·
hands and each-other's they-took and pledged-faith
ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
then in-turn of-Glaucus the-son-of-Cronus the-wits took-away Zeus
ὃς πρὸς Τυδεΐδην Διομήδεα τεύχε' ἄμειβε
who with the-son-of-Tydeus Diomedes arms exchanged
χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.
golden for-bronze worth-a-hundred-oxen for-worth-nine-oxen

Ἕκτωρ δ' ὡς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν,
Hector and when the-Scaean both gates and the-oak reached
ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι θέον ἠδὲ θύγατρες
around then him of-the-Trojans the-wives ran and daughters
εἰρόμεναι παῖδάς τε κασιγνήτους τε ἕτας τε
asking-about sons both brothers and kinsmen and
καὶ πόσιας· ὁ δ' ἔπειτα θεοῖς εὔχεσθαι ἀνώγει
and husbands he and then to-the-gods to-pray bade
πάσας ἑξείης· πολλῇσι δὲ κήδε' ἐφῆπτο.
all in-a-row for-many and sorrows were-fastened-upon
Ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον περικαλλέ' ἵκανε,
But when indeed of-Priam the-house very-fair he-reached
ξεστῇς αἰθούσῃσι τετυγμένον — αὐτὰρ ἐν αὐτῷ
with-polished colonnades built but in it
πεντήκοντ' ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο,
fifty were-within chambers of-polished stone
πλησίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ παῖδες
near each-other built there and the-sons
κοιμῶντο Πριάμοιο παρὰ μνηστῇς ἀλόχοισι·
slept of-Priam beside wedded wives
κουράων δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς
of-the-daughters and on-the-other-side opposite within the-court
δώδεκ' ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο,
twelve were roofed chambers of-polished stone
πλησίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ γαμβροὶ
near each-other built there and the-sons-in-law
κοιμῶντο Πριάμοιο παρ' αἰδοίης ἀλόχοισιν.
slept of-Priam beside modest wives

ἔνθα οἱ ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ
there him the-kindly-giving opposite came mother
Λαοδίκην ἐσάγουσα, θυγατρῶν εἶδος ἀρίστην·
Laodice leading-in of-daughters in-form best
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then his she-clung to-hand word and spoke out and named(-him)
"τέκνον, τίπτε λιπὼν πόλεμον θρασὺν εἰλήλουθας;
child why leaving war bold have-you-come
ἦ μάλα δὴ τείρουσι δυσώνυμοι υἷες Ἀχαιῶν
truly very indeed wear(-you-down) the-ill-named sons of-the-Achaeans
μαρνάμενοι περὶ ἄστυ· σὲ δ' ἐνθάδε θυμὸς ἀνῆκεν
fighting around the-town you and here the-heart sent
ἐλθόντ' ἐξ ἄκρης πόλιος Διὶ χεῖρας ἀνασχεῖν.
having-come from the-top of-the-city to-Zeus hands to-raise
ἀλλὰ μέν', ὄφρα κέ τοι μελιηδέα οἶνον ἐνείκω,
but wait until — for-you honey-sweet wine I-bring
ὡς σπείσῃς Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι
so-that you-may-pour to-Zeus father and to-the-other immortals
πρῶτον, ἔπειτα δὲ καὐτὸς ὀνήσεαι, αἴ κε πίῃσθα.
first then and even-yourself you-will-be-helped if — you-drink
ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει,
to-a-man and weary strength great wine increases
ὡς τύνη κέκμηκας ἀμύνων σοῖσιν ἕτῃσι."
as you are-weary defending your kinsmen
Τὴν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ·
Her and answered then great helmet-flashing Hector
"μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ,
not to-me wine raise honey-sweet queenly mother
μή μ' ἀπογυιώσῃς μένεος, ἀλκῆς τε λάθωμαι·
lest me you-unnerve of-might of-courage and I-forget

χερσὶ δ' ἀνίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον
with-hands and unwashed to-Zeus to-pour sparkling wine
ἄζομαι· οὐδέ πῃ ἔστι κελαινεφέϊ Κρονίωνι
I-shrink nor in-any-way is-it-possible to-the-dark-clouded son-of-Cronus
αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάασθαι.
with-blood and gore spattered to-pray
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης
but you indeed to the-temple of-Athena driver-of-spoil
ἔρχεο σὺν θυέεσσιν, ἀολλίσσασα γεραιάς·
go with offerings having-gathered the-old-women
πέπλον δ', ὅς τίς τοι χαριέστατος ἠδὲ μέγιστος
the-robe and which any to-you most-graceful and greatest
ἔστιν ἐνὶ μεγάρῳ καί τοι πολὺ φίλτατος αὐτῇ,
is in the-hall and to-you by-far dearest yourself
τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
it lay of-Athena on the-knees lovely-haired
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
and to-her promise twelve cows in the-temple
ἤνις ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσῃ
yearling never-goaded to-sacrifice if — she-will-pity
ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
the-town both and of-the-Trojans the-wives and infant children
αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου ἱρῆς,
if — of-Tydeus the-son she-may-keep-back from-Ilium sacred
ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο.
savage spearman mighty deviser of-rout
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης
but you indeed to the-temple of-Athena driver-of-spoil
ἔρχευ, ἐγὼ δὲ Πάριν μετελεύσομαι, ὄφρα καλέσσω,
go I and Paris will-go-after so-that I-may-call(-him)

αἴ κ᾽ ἐθέλῃσ᾽ εἰπόντος ἀκουέμεν· ὥς κέ οἱ αὖθι
if — he-is-willing (me)-speaking to-hear would-that — for-him there
γαῖα χάνοι· μέγα γάρ μιν Ὀλύμπιος ἔτρεφε πῆμα
the-earth might-gape greatly for him the-Olympian reared as-a-bane
Τρωσί τε καὶ Πριάμῳ μεγαλήτορι τοῖό τε παισίν.
for-the-Trojans both and for-Priam great-hearted of-him and for-the-sons
εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ᾽ Ἄϊδος εἴσω,
if him indeed I-could-see having-gone-down of-Hades into
φαίην κε φρέν᾽ ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι.᾽᾽
I-would-say — the-heart of-joyless woe to-have-forgotten
Ὣς ἔφαθ᾽, ἡ δὲ μολοῦσα ποτὶ μέγαρ᾽ ἀμφιπόλοισι
So he-spoke she and going to the-hall to-the-handmaids
κέκλετο· ταὶ δ᾽ ἄρ᾽ ἀόλλισσαν κατὰ ἄστυ γεραιάς.
called they and then gathered through the-town the-old-women
αὐτὴ δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα,
herself and into the-chamber went-down fragrant
ἔνθ᾽ ἔσαν οἱ πέπλοι παμποίκιλα ἔργα γυναικῶν
there were her robes all-embroidered works of-women
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
of-Sidon which himself Alexander godlike
ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
brought from-Sidon sailing-over broad sea
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν·
the journey in-which Helen indeed he-brought-up of-noble-father
τῶν ἕν᾽ ἀειραμένη Ἑκάβη φέρε δῶρον Ἀθήνῃ,
of-them one lifting Hecuba carried as-a-gift to-Athena
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος,
which fairest was in-embroideries and greatest

ἀστὴρ δ' ὣς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
a-star and like it-shone it-lay and lowest of-the-others

βῆ δ' ἰέναι, πολλαὶ δὲ μετεσσεύοντο γεραιαί.
she-went and to-go many and hastened-after old-women

Αἱ δ' ὅτε νηὸν ἵκανον Ἀθήνης ἐν πόλει ἄκρῃ,
They and when the-temple reached of-Athena in the-city topmost

τῇσι θύρας ὤϊξε Θεανὼ καλλιπάρῃος,
for-them the-doors opened Theano fair-cheeked

Κισσηΐς, ἄλοχος Ἀντήνορος ἱπποδάμοιο·
daughter-of-Cisseus wife of-Antenor horse-taming

τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν.
her for the-Trojans had-made of-Athena priestess

αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον·
they and with-a-cry all to-Athena hands raised

ἡ δ' ἄρα πέπλον ἑλοῦσα Θεανὼ καλλιπάρῃος
she and then the-robe taking Theano fair-cheeked

θῆκεν Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
laid(-it) of-Athena on the-knees lovely-haired

εὐχομένη δ' ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·
praying and she-prayed of-Zeus to-the-daughter great

"πότνι' Ἀθηναίη, ῥυσίπτολι, δῖα θεάων,
queenly Athena city-guarding bright of-goddesses

ἆξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν
break indeed the-spear of-Diomedes and also himself

πρηνέα δὸς πεσέειν Σκαιῶν προπάροιθε πυλάων,
headlong grant to-fall the-Scaean before gates

ὄφρα τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
so-that to-you at-once now twelve cows in the-temple
ἤνις ἠκέστας ἱερεύσομεν, αἴ κ' ἐλεήσῃς
yearling never-goaded we-may-sacrifice if — you-will-pity
ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα."
the-town both and of-the-Trojans the-wives and infant children
Ὣς ἔφατ' εὐχομένη, ἀνένευε δὲ Παλλὰς Ἀθήνη.
So she-spoke praying refused and Pallas Athena

VI.5 · HECTOR, PARIS, AND HELEN

Hector finds Paris in his chamber handling his armor, and rebukes him while men die for his sake. Paris says he sat apart in grief, not resentment, and that Helen has already urged him back to battle; he will arm and follow. Helen calls herself a dog and wishes she had died at birth, and asks Hector to sit, but he refuses: the Trojans need him. He goes home to see his wife and son, not knowing whether he will return, and learns that Andromache has run to the tower with the child.

ὣς αἱ μέν ῥ' εὔχοντο Διὸς κούρῃ μεγάλοιο,
so they indeed then prayed of-Zeus to-the-daughter great
Ἕκτωρ δὲ πρὸς δώματ' Ἀλεξάνδροιο βεβήκει
Hector and to the-house of-Alexander had-gone
καλά, τά ῥ' αὐτὸς ἔτευξε σὺν ἀνδράσιν οἳ τότ' ἄριστοι
fair which then himself had-built with men who then best
ἦσαν ἐνὶ Τροίῃ ἐριβώλακι τέκτονες ἀνδρες,
were in Troy deep-soiled craftsmen men
οἵ οἱ ἐποίησαν θάλαμον καὶ δῶμα καὶ αὐλὴν
who for-him made a-chamber and house and court
ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτορος, ἐν πόλει ἄκρῃ.
near both to-Priam and to-Hector in the-city at-the-top

ἔνθ᾽ Ἕκτωρ εἰσῆλθε Διΐ φίλος, ἐν δ᾽ ἄρα χειρὶ
there Hector entered to-Zeus dear in and then hand
ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς
the-spear he-held of-eleven-cubits before and shone of-the-spear
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης.
the-point bronze around and golden ran a-ring
τὸν δ᾽ εὗρ᾽ ἐν θαλάμῳ περικαλλέα τεύχε᾽ ἕποντα
him and he-found in the-chamber very-fair arms busy-with
ἀσπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξ᾽ ἀφόωντα·
shield and corselet and curved bow handling
Ἀργείη δ᾽ Ἑλένη μετ᾽ ἄρα δμῳῇσι γυναιξὶν
Argive and Helen among then the-serving women
ἧστο, καὶ ἀμφιπόλοισι περικλυτὰ ἔργα κέλευε.
sat and to-the-handmaids glorious works assigned
τὸν δ᾽ Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέεσσι·
him and Hector rebuked seeing with-shameful words
“δαιμόνι᾽, οὐ μὲν καλὰ χόλον τόνδ᾽ ἔνθεο θυμῷ.
strange-one not indeed well anger this you-have-put in-heart
λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος
the-people indeed are-perishing around the-city steep and wall
μαρνάμενοι· σέο δ᾽ εἵνεκ᾽ ἀϋτή τε πτόλεμός τε
fighting of-you and for-the-sake the-war-cry both war and
ἄστυ τόδ᾽ ἀμφιδέδηε· σὺ δ᾽ ἂν μαχέσαιο καὶ ἄλλῳ,
the-town this blazes-around you and — would-fight even with-another
ὅν τινά που μεθιέντα ἴδοις στυγεροῦ πολέμοιο.
whom any somewhere slacking you-should-see from-hateful war
ἀλλ᾽ ἄνα, μὴ τάχα ἄστυ πυρὸς δηΐοιο θέρηται.”
but up lest soon the-town by-fire consuming be-burned

Τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Him and in-turn addressed Alexander godlike
"Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν,
Hector since me according-to due you-rebuked nor beyond due
τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
therefore to-you I-will-say you and attend and me hear
οὔ τοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσι
not you-know I with-the-Trojans so-much in-anger nor in-resentment
ἥμην ἐν θαλάμῳ, ἔθελον δ' ἄχεϊ προτραπέσθαι.
sat in the-chamber I-wished and to-grief to-give-myself-up
νῦν δέ με παρειποῦσ' ἄλοχος μαλακοῖς ἐπέεσσιν
now and me having-persuaded the-wife with-soft words
ὄρμησ' ἐς πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῷ
urged(-me) into war it-seems and to-me thus also myself
λώϊον ἔσσεσθαι· νίκη δ' ἐπαμείβεται ἄνδρας.
better to-be victory and passes-in-turn-to men
ἀλλ' ἄγε νῦν ἐπίμεινον, Ἀρήϊα τεύχεα δύω·
but come now wait warlike arms let-me-put-on
ἢ ἴθ', ἐγὼ δὲ μέτειμι· κιχήσεσθαι δέ σ' ὀΐω."
or go I and will-go-after to-overtake and you I-think
Ὣς φάτο, τὸν δ' οὔ τι προσέφη κορυθαίολος Ἕκτωρ·
So he-spoke him and not at-all addressed helmet-flashing Hector
τὸν δ' Ἑλένη μύθοισι προσηύδα μειλιχίοισι·
him and Helen with-words addressed gentle
"δᾶερ ἐμεῖο κυνὸς κακομηχάνου ὀκρυοέσσης,
brother-in-law of-me a-dog evil-devising horrible

ὥς μ᾽ ὄφελ᾽ ἤματι τῷ ὅτε με πρῶτον τέκε μήτηρ
would-that me had on-day that when me first bore mother
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
gone carrying-me-off an-evil of-the-wind blast
εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης,
into a-mountain or into the-wave of-the-loud-resounding sea
ἔνθα με κῦμ᾽ ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι.
there me the-wave would-have-swept-away before these deeds to-happen
αὐτὰρ ἐπεὶ τάδε γ᾽ ὧδε θεοὶ κακὰ τεκμήραντο,
but since these indeed so the-gods evils ordained
ἀνδρὸς ἔπειτ᾽ ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις,
of-a-man then I-ought of-a-better to-be the-wife
ὃς ἤδη νέμεσίν τε καὶ αἴσχεα πόλλ᾽ ἀνθρώπων.
who knew the-indignation both and reproaches many of-men
τούτῳ δ᾽ οὔτ᾽ ἄρ νῦν φρένες ἔμπεδοι οὔτ᾽ ἄρ᾽ ὀπίσσω
this-one's and neither then now wits steadfast nor then hereafter
ἔσσονται· τῶ καί μιν ἐπαυρήσεσθαι ὀΐω.
will-be therefore also him to-reap-the-fruit-of(-it) I-think
ἀλλ᾽ ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῷδ᾽ ἐπὶ δίφρῳ,
but come now enter and sit this on chair
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
brother-in-law since you most toil the-heart has-beset
εἵνεκ᾽ ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ᾽ ἄτης,
for-the-sake-of me a-dog and of-Alexander for-the-sake of-folly
οἷσιν ἐπὶ Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
whom upon Zeus has-put evil doom so-that also hereafter
ἀνθρώποισι πελώμεθ᾽ ἀοίδιμοι ἐσσομένοισι.”
for-men we-may-be sung-of for-those-to-come

Τὴν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ·
Her and answered then great helmet-flashing Hector
"μή με κάθιζ', Ἑλένη, φιλέουσά περ· οὐδέ με πείσεις·
not me seat Helen loving though nor me will-you-persuade
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω
already for for-me the-heart hastens so-that I-may-defend
Τρώεσσ', οἳ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν.
the-Trojans who greatly me longing being-absent have
ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτός,
but you indeed rouse this-one let-him-hasten and also himself
ὥς κεν ἔμ' ἔντοσθεν πόλιος καταμάρψῃ ἐόντα.
so-that — me within the-city he-may-overtake being
καὶ γὰρ ἐγὼν οἰκόνδε ἐλεύσομαι, ὄφρα ἴδωμαι
also for I homeward will-go so-that I-may-see
οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
the-household wife both dear and infant son
οὐ γὰρ οἶδ' εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις,
not for I-know if still to-them returning I-shall-come again
ἦ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Ἀχαιῶν."
or already me under the-hands the-gods will-subdue of-the-Achaeans
Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·
So then having-spoken departed helmet-flashing Hector
αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας,
quickly and then he-reached the-house well inhabited
οὐδ' εὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισιν,
nor he-found Andromache white-armed in the-halls
ἀλλ' ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐϋπέπλῳ
but she indeed with child and handmaid fair-robed
πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη τε.
on-the-tower stood wailing both lamenting and

Ἕκτωρ δ᾽ ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν
Hector and as not within the-blameless he-found wife
ἕστη ἐπ᾽ οὐδὸν ἰών, μετὰ δὲ δμῳῇσιν ἔειπεν·
stood on the-threshold going among and the-serving-women spoke
“εἰ δ᾽ ἄγε μοι, δμῳαί, νημερτέα μυθήσασθε·
if and come to-me serving-women unerringly tell
πῇ ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
where went Andromache white-armed from the-hall
ἠέ πῃ ἐς γαλόων ἢ εἰνατέρων ἐϋπέπλων,
whether anywhere to of-sisters-in-law or of-brothers’-wives fair-robed
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
or to of-Athena has-gone-out where indeed the-others
Τρῳαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται;”
Trojan-women fair-tressed the-dread goddess propitiate
Τὸν δ᾽ αὖτ᾽ ὀτρηρὴ ταμίη πρὸς μῦθον ἔειπεν·
Him and in-turn the-busy housekeeper to speech said
“ Ἕκτορ, ἐπεὶ μάλ᾽ ἄνωγας ἀληθέα μυθήσασθαι,
Hector since very you-bid true-things to-tell
οὔτε πῃ ἐς γαλόων οὔτ᾽ εἰνατέρων ἐϋπέπλων
neither anywhere to of-sisters-in-law nor of-brothers’-wives fair-robed
οὔτ᾽ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
nor to of-Athena has-she-gone-out where indeed the-others
Τρῳαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται,
Trojan-women fair-tressed the-dread goddess propitiate
ἀλλ᾽ ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ᾽ ἄκουσε
but to the-tower she-went great of-Ilium because she-heard
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν.
to-be-worn-down the-Trojans great and the-might to-be of-the-Achaeans

ἡ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει
she indeed truly to the-wall hastening arrives
μαινομένῃ ἐϊκυῖα· φέρει δ' ἅμα παῖδα τιθήνη."
to-a-mad-woman like carries and with-her the-child the-nurse

VI.6 · HECTOR AND ANDROMACHE

Andromache meets Hector at the Scaean gates with the nurse and their son Astyanax, and he smiles at the boy in silence. She begs him to pity her. Achilles has killed her father and her seven brothers, and her mother died in the halls, so Hector is father, mother, brother, and husband to her; let him station the army by the fig tree, where the wall is weakest. Hector answers that he would be ashamed to shrink from battle, and that he knows Troy will fall. What grieves him most is the thought of her led away a slave.

390 Ἣ ῥα γυνὴ ταμίη, ὁ δ' ἀπέσσυτο δώματος Ἕκτωρ
She-spoke then the-woman housekeeper he and hastened-away from-the-house Hector
τὴν αὐτὴν ὁδὸν αὖτις ἐϋκτιμένας κατ' ἀγυιάς.
the same way back well-built along streets
εὖτε πύλας ἵκανε διερχόμενος μέγα ἄστυ
when the-gates he-reached passing-through the-great town
Σκαιάς, τῇ ἄρ' ἔμελλε διεξίμεναι πεδίονδε,
the-Scaean where then he-was-about to-pass-out to-the-plain
ἔνθ' ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα
there the-wife richly-dowered meeting came running
395 Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
Andromache daughter of-great-hearted Eetion
Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Eetion who dwelt beneath Placus wooded
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσιν ἀνάσσων·
in-Thebe under-Placus over-the-Cilician men ruling

τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι χαλκοκορυστῇ.
of-whom indeed indeed the-daughter was-held by-Hector bronze-helmeted
ἥ οἱ ἔπειτ' ἤντησ', ἅμα δ' ἀμφίπολος κίεν αὐτῇ
she to-him then met(-him) together and a-handmaid went with-her
παῖδ' ἐπὶ κόλπῳ ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως,
the-child on bosom holding tender-hearted infant merely
Ἑκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀστέρι καλῷ,
the-son-of-Hector beloved like to-a-star fair
τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
whom then Hector called Scamandrius but the others
Ἀστυάνακτ'· οἷος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.
Astyanax alone for guarded Ilium Hector
ἤτοι ὁ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ·
truly he indeed smiled looking at the-child in-silence
Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δάκρυ χέουσα,
Andromache and to-him near stood-by tears shedding
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then his she-clung to-hand word and spoke out and named(-him)
"δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ' ἐλεαίρεις
strange-one will-destroy you the your might nor do-you-pity
παῖδά τε νηπίαχον καὶ ἔμ' ἄμμορον, ἢ τάχα χήρη
child both infant and me ill-fated who soon a-widow
σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ
of-you shall-be soon for you will-kill the-Achaeans
πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη
all rushing-on(-you) for-me and — more-profitable it-would-be
σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ' ἄλλη
of-you bereft the-earth to-enter not for longer other
ἔσται θαλπωρή, ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς,
will-be comfort when — you indeed doom meet

ἀλλ᾽ ἄχε᾽· οὐδέ μοι ἔστι πατὴρ καὶ πότνια μήτηρ.
but griefs nor to-me is father and queenly mother
ἤτοι γὰρ πατέρ᾽ ἁμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
truly for father my killed noble Achilles
ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ ναιετάουσαν,
out and the-city sacked of-the-Cilicians well inhabited
Θήβην ὑψίπυλον· κατὰ δ᾽ ἔκτανεν Ἠετίωνα,
Thebe high-gated down and he-killed Eetion
οὐδέ μιν ἐξενάριξε, σεβάσσατο γὰρ τό γε θυμῷ,
nor him did-he-strip he-had-awe-of for this indeed in-heart
ἀλλ᾽ ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν
but then him he-burned with arms elaborate
ἠδ᾽ ἐπὶ σῆμ᾽ ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
and over a-mound heaped around and elms planted
νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
nymphs of-the-mountain daughters of-Zeus aegis-bearing
οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν,
who and for-me seven brothers were in halls
οἱ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω·
they indeed all on-one went day of-Hades into
πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς
all for slew swift-footed noble Achilles
βουσὶν ἐπ᾽ εἰλιπόδεσσι καὶ ἀργεννῇς ὀΐεσσι.
the-cattle among rolling-gaited and white sheep
μητέρα δ᾽, ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
mother and who was-queen beneath Placus wooded
τὴν ἐπεὶ ἂρ δεῦρ᾽ ἤγαγ᾽ ἅμ᾽ ἄλλοισι κτεάτεσσιν,
her when then hither he-brought together-with other possessions
ἂψ ὅ γε τὴν ἀπέλυσε λαβὼν ἀπερείσι᾽ ἄποινα,
back he indeed her released taking boundless ransom

πατρὸς δ' ἐν μεγάροισι βάλ' Ἄρτεμις ἰοχέαιρα.
of-her-father and in halls struck(-her) Artemis arrow-pouring
Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
Hector but you to-me are father and queenly mother
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης·
and brother you and to-me blooming husband
ἀλλ' ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ,
but come now pity and there stay on the-tower
μὴ παῖδ' ὀρφανικὸν θήῃς χήρην τε γυναῖκα·
lest the-child orphaned you-make a-widow and wife
λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα
the-people and station by the-fig-tree where most
ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
assailable is the-city and open-to-attack is the-wall
τρὶς γὰρ τῇ γ' ἐλθόντες ἐπειρήσανθ' οἱ ἄριστοι
thrice for there indeed coming tried the best
ἀμφ' Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα
around the-Ajaxes two and very-famed Idomeneus
ἠδ' ἀμφ' Ἀτρεΐδας καὶ Τυδέος ἄλκιμον υἱόν·
and around the-sons-of-Atreus and of-Tydeus valiant son
ἤ πού τίς σφιν ἔνισπε θεοπροπίων ἐῢ εἰδώς,
either surely someone to-them told of-oracles well knowing
ἦ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει."
or now also their-own spirit urges and bids
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Her and in-turn addressed great helmet-flashing Hector
"ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς
truly also to-me these-things all are-a-care wife but very terribly
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
I-feel-shame-before the-Trojans and Trojan-women with-trailing-robes

αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
if — a-coward like apart I-shrink from-war
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
nor me the-heart bids since I-learned to-be noble
αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι
always and the-foremost among the-Trojans to-fight
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.
winning of-father both great fame and my own
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
well for I this know in mind and in heart
ἔσσεται ἦμαρ ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ
will-be a-day when — some-time shall-perish Ilium sacred
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
and Priam and the-people of-good-ash-spear Priam
ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
but not to-me of-the-Trojans so-much matters the-grief hereafter
οὔτ' αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος
nor of-herself Hecuba nor of-Priam lord
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
nor of-brothers who — many both and brave
ἐν κονίῃσι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,
in the-dust may-fall under men hostile
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
as-much-as of-you when — someone of-the-Achaeans bronze-coated
δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀπούρας·
weeping leads(-you)-away of-freedom the-day having-taken-away
καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
and — in Argos being at another's loom you-may-weave

καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης
and — water you-may-carry of-Messeis or of-Hypereia
πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη·
much unwilling strong and will-lie-on(-you) necessity
καί ποτέ τις εἴπῃσιν ἰδὼν κατὰ δάκρυ χέουσαν·
and some-day someone may-say seeing(-you) down tears shedding
'Ἕκτορος ἥδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι
of-Hector this the-wife who was-best to-fight
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφιμάχοντο.'
of-the-Trojans horse-taming when Ilium they-fought-around
ὥς ποτέ τις ἐρέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος
so some-day someone will-say to-you and in-turn new will-be grief
χήτεϊ τοιοῦδ' ἀνδρὸς ἀμύνειν δούλιον ἦμαρ.
from-lack of-such-a man to-ward-off of-slavery the-day
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι
but me dead heaped down earth may-cover
πρίν γέ τι σῆς τε βοῆς σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι."
before indeed at-all of-your both cry of-you and dragging-off to-learn

The child shrinks from Hector's nodding crest, and both parents laugh; Hector takes off the helmet, kisses the boy, and prays that he will be braver than his father. He hands the boy to Andromache, who laughs through her tears, and tells her that he cannot die before his fate. She goes home, and her women mourn Hector while he is still alive. Paris runs down from Pergamus in his armor like a stallion broken loose, and catches up with Hector, who tells him they will make amends once the Achaeans are driven out.

Ὣς εἰπὼν οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ·
So having-spoken his child reached-for glorious Hector
ἂψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
back and the child to the-bosom of-the-well-girdled nurse
ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς,
shrank crying at-the-father's dear sight dismayed
ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,
fearing bronze both and the-crest horsehair
δεινὸν ἀπ' ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
dreadfully from the-topmost helmet nodding noticing
ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ·
out and laughed father both dear and queenly mother
αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ,
at-once from head the-helmet took glorious Hector
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν·
and it indeed laid-down on the-ground all-shining
αὐτὰρ ὅ γ' ὃν φίλον υἱὸν ἐπεὶ κύσε πῆλέ τε χερσίν,
but he indeed his dear son when he-kissed dandled and in-hands
εἶπε δ' ἐπευξάμενος Διί τ' ἄλλοισίν τε θεοῖσι·
spoke and praying to-Zeus both to-the-other and gods

“Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
Zeus others and gods grant indeed also this-one to-become
παῖδ’ ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
child my as also I indeed preeminent among-the-Trojans
ὧδε βίην τ’ ἀγαθόν, καὶ Ἰλίου ἶφι ἀνάσσειν·
so in-might both good and over-Ilium mightily to-rule
καί ποτέ τις εἴποι πατρός γ’ ὅδε πολλὸν ἀμείνων
and some-day someone may-say than-his-father indeed this-one by-far better
ἐκ πολέμου ἀνιόντα· φέροι δ’ ἔναρα βροτόεντα
from war coming-back may-he-carry and spoils bloody
κτείνας δῃΐον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.”
having-killed a-foe man may-rejoice and in-heart the-mother
Ὣς εἰπὼν ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
So having-spoken of-the-wife dear in hands he-placed
παῖδ’ ἑόν· ἡ δ’ ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ
child his-own she and then him in-fragrant received bosom
δακρυόεν γελάσασα· πόσις δ’ ἐλέησε νοήσας,
tearfully laughing the-husband and pitied(-her) noticing
χειρί τέ μιν κατέρεξεν ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε·
with-hand and her stroked word and spoke out and named(-her)
“δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
strange-one not for-me at-all overmuch grieve in-heart
οὐ γάρ τίς μ’ ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει·
not for any me beyond fate man to-Hades will-hurl
μοῖραν δ’ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
fate and not any I-say to-have-escaped to-be of-men
οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
not coward nor indeed noble when the first he-is-born
ἀλλ’ εἰς οἶκον ἰοῦσα τὰ σ’ αὐτῆς ἔργα κόμιζε,
but to house going the your own works take-care-of

ἱστόν τ᾽ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
the-loom both distaff both and the-handmaids bid
ἔργον ἐποίχεσθαι· πόλεμος δ᾽ ἄνδρεσσι μελήσει
the-work to-ply war and to-men will-be-a-care
πᾶσι, μάλιστα δ᾽ ἐμοί, τοὶ Ἰλίῳ ἐγγεγάασιν.᾽᾽
to-all most and to-me who in-Ilium are-born
Ὣς ἄρα φωνήσας κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ
So then having-spoken the-helmet took glorious Hector
ἵππουριν· ἄλοχος δὲ φίλη οἰκόνδε βεβήκει
horsehair-crested the-wife and dear homeward had-gone
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
turning-to-look-back swelling down tear shedding
αἶψα δ᾽ ἔπειθ᾽ ἵκανε δόμους εὖ ναιετάοντας
quickly and then she-reached the-house well inhabited
Ἕκτορος ἀνδροφόνοιο, κιχήσατο δ᾽ ἔνδοθι πολλὰς
of-Hector man-slaying she-found and within many
ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν.
handmaids among-them and lamentation in-all she-roused
αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
they indeed still alive lamented Hector his-own in house
οὐ γάρ μιν ἔτ᾽ ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
not for him longer they-thought returning from war
ἴξεσθαι, προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.
to-come escaping the-might and hands of-the-Achaeans
Οὐδὲ Πάρις δήθυνεν ἐν ὑψηλοῖσι δόμοισιν,
Nor Paris lingered in high house
ἀλλ᾽ ὅ γ᾽, ἐπεὶ κατέδυ κλυτὰ τεύχεα, ποικίλα χαλκῷ,
but he indeed when he-put-on famed arms inlaid with-bronze
σεύατ᾽ ἔπειτ᾽ ἀνὰ ἄστυ, ποσὶ κραιπνοῖσι πεποιθώς.
rushed then through the-town in-feet swift trusting

ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
as and when some stalled horse well-fed at the-manger
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων,
the-halter breaking-off runs over-the-plain stamping
εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο,
accustomed to-bathe in-the-fair-flowing river
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
exulting high and the-head he-holds around and the-mane
ὤμοις ἀΐσσονται· ὁ δ' ἀγλαΐῃφι πεποιθὼς 510
on-the-shoulders stream he and in-his-splendor trusting
ῥίμφα ἑ γοῦνα φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων·
lightly him the-knees carry to both the-haunts and pasture of-horses
ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης
so the-son of-Priam Paris down-from Pergamus topmost
τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ ἐβεβήκει
in-arms all-gleaming like — the-sun strode
καγχαλόων, ταχέες δὲ πόδες φέρον· αἶψα δ' ἔπειτα
laughing swift and feet carried(-him) quickly and then
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεόν, εὖτ' ἄρ' ἔμελλε 515
Hector noble he-found brother when then he-was-about
στρέψεσθ' ἐκ χώρης ὅθι ᾗ ὀάριζε γυναικί.
to-turn from the-place where with-his-own he-had-talked-fondly wife
τὸν πρότερος προσέειπεν Ἀλέξανδρος θεοειδής·
him first addressed Alexander godlike
"ἠθεῖ', ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω
elder-brother truly very indeed you even hastening I-detain
δηθύνων, οὐδ' ἦλθον ἐναίσιμον, ὡς ἐκέλευες;"
lingering nor did-I-come in-due-time as you-bade

Τὸν δ' ἀπαμειβόμενος προσέφη κορυθαίολος Ἕκτωρ·
Him and answering addressed helmet-flashing Hector
"δαιμόνι', οὐκ ἄν τίς τοι ἀνήρ, ὃς ἐναίσιμος εἴη,
strange-one not — any you man who righteous should-be
ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·
the-work would-dishonor of-battle since valiant you-are
ἀλλὰ ἑκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις· τὸ δ' ἐμὸν κῆρ
but willingly you-slacken both and not wish the and my heart
ἄχνυται ἐν θυμῷ, ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω
is-grieved in heart when about you disgraces I-hear
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο.
from the-Trojans who have much toil for-the-sake of-you
ἀλλ' ἴομεν· τὰ δ' ὄπισθεν ἀρεσσόμεθ', αἴ κέ ποθι Ζεὺς
but let-us-go these-things and hereafter we-will-make-amends if — somehow Zeus
δώῃ ἐπουρανίοισι θεοῖς αἰειγενέτῃσι
grant to-the-heavenly gods ever-living
κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισιν,
a-mixing-bowl to-set-up of-freedom in halls
ἐκ Τροίης ἐλάσαντας ἐϋκνήμιδας Ἀχαιούς."
from Troy having-driven-out well-greaved Achaeans

BOOK VII

VII.1 · HECTOR'S CHALLENGE

Hector and Paris come out of the gates, as welcome to the Trojans as a wind to weary rowers, and each kills a man, as does Glaucus. Athena comes down to help the Argives and meets Apollo by the oak. They agree to end the day's fighting with a single combat. Helenus perceives the gods' plan and tells Hector, who holds back the Trojan ranks. Hector challenges the best of the Achaeans: the victor will strip the loser's armor but return the body, and a sailor will one day point out the mound of the man Hector killed.

Ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ,
So having-spoken from-the-gates rushed-out glorious Hector
τῷ δ' ἅμ' Ἀλέξανδρος κὶ ἀδελφεός· ἐν δ' ἄρα θυμῷ
with-him and together Alexander went his-brother in and then heart
ἀμφότεροι μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι.
both were-eager to-war and to-fight
ὡς δὲ θεὸς ναύτῃσιν ἐελδομένοισιν ἔδωκεν
as and a-god to-sailors longing gives
οὖρον, ἐπεί κε κάμωσιν ἐϋξέστῃς ἐλάτῃσι
a-fair-wind when — they-are-weary with-well-polished oars
πόντον ἐλαύνοντες, καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται,
the-sea driving with-weariness and beneath limbs are-loosed
ὣς ἄρα τὼ Τρώεσσιν ἐελδομένοισι φανήτην.
so then the-two to-the-Trojans longing appeared
Ἔνθ' ἑλέτην ὁ μὲν υἱὸν Ἀρηϊθόοιο ἄνακτος,
Then took he indeed the-son of-Areithous lord
Ἄρνῃ ναιετάοντα Μενέσθιον, ὃν κορυνήτης
in-Arne dwelling Menesthius whom the-club-bearer
γείνατ' Ἀρηΐθοος καὶ Φυλομέδουσα βοῶπις·
begot Areithous and Phylomedusa ox-eyed

Ἕκτωρ δ᾽ Ἠϊονῆα βάλ᾽ ἔγχεϊ ὀξυόεντι
Hector and Eioneus struck with-spear sharp
αὐχέν᾽ ὑπὸ στεφάνης εὐχάλκου, λύντο δὲ γυῖα.
the-neck under the-rim of-the-bronze-fitted(-helmet) were-loosed and limbs
Γλαῦκος δ᾽ Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν,
Glaucus and of-Hippolochus son of-the-Lycians leader of-men
Ἰφίνοον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην
Iphinous struck with-spear through mighty combat
Δεξιάδην, ἵππων ἐπιάλμενον ὠκειάων,
son-of-Dexius the-horses leaping-onto swift
ὦμον· ὁ δ᾽ ἐξ ἵππων χαμάδις πέσε, λύντο δὲ γυῖα.
on-the-shoulder he and from the-horses to-the-ground fell were-loosed and limbs
Τοὺς δ᾽ ὡς οὖν ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη
Them and when then noticed the-goddess flashing-eyed Athena
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
the-Argives destroying in mighty combat
βῆ ῥα κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξασα
went then down-from of-Olympus the-peaks darting
Ἴλιον εἰς ἱερήν· τῇ δ᾽ ἀντίος ὄρνυτ᾽ Ἀπόλλων
Ilium to sacred her and to-meet rose Apollo
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ βούλετο νίκην·
from-Pergamus looking-down for-the-Trojans and he-wished victory
ἀλλήλοισι δὲ τώ γε συναντέσθην παρὰ φηγῷ.
with-each-other and the-two indeed met beside the-oak
τὴν πρότερος προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
her first addressed lord of-Zeus son Apollo
“τίπτε σὺ δὴ αὖ μεμαυῖα, Διὸς θύγατερ μεγάλοιο,
why you now again eager of-Zeus daughter great
ἦλθες ἀπ᾽ Οὐλύμποιο, μέγας δέ σε θυμὸς ἀνῆκεν;
have-you-come from Olympus great and you the-heart sent

ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἐτεραλκέα νίκην
truly so-that indeed to-the-Danaans of-the-battle the-turning victory
δῷς; ἐπεὶ οὔ τι Τρῶας ἀπολλυμένους ἐλεαίρεις.
you-may-give since not at-all the-Trojans perishing you-pity
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη·
but if to-me in-something you-would-obey this — much more-profitable would-be
νῦν μὲν παύσωμεν πόλεμον καὶ δηϊοτῆτα
now indeed let-us-stop the-war and combat
σήμερον· ὕστερον αὖτε μαχήσοντ', εἰς ὅ κε τέκμωρ
today later in-turn they-will-fight until the-time — the-end
Ἰλίου εὕρωσιν, ἐπεὶ ὣς φίλον ἔπλετο θυμῷ
of-Ilium they-find since so dear it-is to-heart
ὑμῖν ἀθανάτῃσι, διαπραθέειν τόδε ἄστυ."
to-you immortal-goddesses to-sack this town
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"ὦδ' ἔστω, ἑκάεργε· τὰ γὰρ φρονέουσα καὶ αὐτὴ
so let-it-be far-worker these-things for intending also myself
ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
I-came from Olympus among the-Trojans and Achaeans
ἀλλ' ἄγε, πῶς μέμονας πόλεμον καταπαυσέμεν ἀνδρῶν;"
but come how are-you-minded the-war to-stop of-men
Τὴν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Her and in-turn addressed lord of-Zeus son Apollo
" Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,
of-Hector let-us-rouse the-mighty might horse-taming
ἤν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἷος
if any perhaps of-the-Danaans he-will-challenge alone by-himself
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι,
face-to-face to-fight in dread combat

οἱ δέ κ' ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
they and — indignant the-bronze-greaved Achaeans
οἷον ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίῳ."
one may-rouse to-fight with-Hector noble
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
So he-spoke nor disobeyed the-goddess flashing-eyed Athena
τῶν δ' Ἕλενος, Πριάμοιο φίλος παῖς, σύνθετο θυμῷ
of-them and Helenus of-Priam dear son perceived in-heart
βουλήν, ἥ ῥα θεοῖσιν ἐφήνδανε μητιόωσι·
the-counsel which then the-gods pleased devising
στῆ δὲ παρ' Ἕκτορ' ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν·
he-stood and beside Hector going and him to word spoke
" Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε,
Hector son of-Priam to-Zeus in-counsel equal
ἦ ῥά νύ μοί τι πίθοιο, κασίγνητος δέ τοί εἰμι·
truly then now to-me in-something would-you-obey brother and to-you I-am
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς,
the-others indeed seat Trojans and all Achaeans
αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅς τις ἄριστος
yourself and challenge of-the-Achaeans who any best
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι·
face-to-face to-fight in dread combat
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν·
not for yet for-you the-fate to-die and doom to-meet
ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων."
so for I the-voice heard of-the-gods ever-living
Ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτ' ἐχάρη μέγα μῦθον ἀκούσας,
So he-spoke Hector and in-turn rejoiced greatly the-word hearing
καί ῥ' ἐς μέσσον ἰὼν Τρώων ἀνέεργε φάλαγγας,
and then into the-middle going of-the-Trojans held-back the-ranks

μέσσου δουρὸς ἑλών· οἱ δ' ἱδρύνθησαν ἅπαντες.
middle of-the-spear having-grasped they and were-seated all
κὰδ δ' Ἀγαμέμνων εἶσεν ἐϋκνήμιδας Ἀχαιούς·
down and Agamemnon seated well-greaved Achaeans
κὰδ δ' ἄρ' Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
down and then Athena both and silver-bowed Apollo
ἑζέσθην ὄρνισιν ἐοικότες αἰγυπιοῖσι
sat to-birds like vultures
φηγῷ ἐφ' ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο
the-oak on high of-father Zeus aegis-bearing
ἀνδράσι τερπόμενοι· τῶν δὲ στίχες ἥατο πυκναί,
in-men delighting of-them and the-ranks sat close
ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι.
with-shields and helmets and spears bristling
οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ
as and of-Zephyrus is-poured the-sea over a-ripple
ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ' αὐτῆς,
rising newly darkens and — the-sea under it
τοῖαι ἄρα στίχες ἥατ' Ἀχαιῶν τε Τρώων τε
such then the-ranks sat of-the-Achaeans both of-the-Trojans and
ἐν πεδίῳ· Ἕκτωρ δὲ μετ' ἀμφοτέροισιν ἔειπε·
in the-plain Hector and among both spoke
"κέκλυτέ μευ, Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί,
hear me Trojans and well-greaved Achaeans
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
so-that I-may-say what me the-heart in breast bids
ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν,
the-oaths indeed the-son-of-Cronus high-throned not fulfilled

ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισιν
but evils devising ordains for-both
εἰς ὅ κεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλητε,
until the-time — either you Troy well-towered take
ἢ αὐτοὶ παρὰ νηυσὶ δαμήετε ποντοπόροισιν.
or yourselves beside the-ships are-subdued seafaring
ὑμῖν δ' ἐν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν·
among-you and in for are the-best of-all-the-Achaeans
τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
of-them now whom any the-heart me to-fight bids
δεῦρ' ἴτω ἐκ πάντων πρόμος ἔμμεναι Ἕκτορι δίῳ.
hither let-him-come from all champion to-be against-Hector noble
ὧδε δὲ μυθέομαι, Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔστω·
thus and I-declare Zeus and of-us witness let-him-be
εἰ μέν κεν ἐμὲ κεῖνος ἕλῃ ταναήκεϊ χαλκῷ,
if indeed — me he takes with-long-edged bronze
τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας,
the-arms having-stripped let-him-carry hollow to ships
σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
the-body and home my to-give back so-that of-fire me
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
the-Trojans and of-the-Trojans the-wives may-give-portion dead
εἰ δέ κ' ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι εὖχος Ἀπόλλων,
if and — I him take grant and to-me glory Apollo
τεύχεα συλήσας οἴσω προτὶ Ἴλιον ἱρήν,
the-arms having-stripped I-will-carry to Ilium sacred
καὶ κρεμόω προτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο,
and I-will-hang(-them) at the-temple of-Apollo far-shooting
τὸν δὲ νέκυν ἐπὶ νῆας ἐϋσσέλμους ἀποδώσω,
the and corpse to the-ships well-benched I-will-give-back

ὄφρα ἑ ταρχύσωσι κάρη κομόωντες Ἀχαιοί,
so-that him may-bury on-head long-haired Achaeans
σῆμά τέ οἱ χεύωσιν ἐπὶ πλατεῖ Ἑλλησπόντῳ.
a-mound and for-him may-heap by broad Hellespont
καί ποτέ τις εἴπῃσι καὶ ὀψιγόνων ἀνθρώπων,
and some-day someone may-say even of-later-born men
νηΐ πολυκλήϊδι πλέων ἐπὶ οἴνοπα πόντον·
in-ship many-benched sailing over wine-dark sea
‘ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνηῶτος,
of-a-man indeed this the-mound long-ago dead
ὅν ποτ’ ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ.’
whom once being-best killed glorious Hector
ὥς ποτέ τις ἐρέει· τὸ δ’ ἐμὸν κλέος οὔ ποτ’ ὀλεῖται.”
so some-day someone will-say the and my fame not ever will-perish

VII.2 · NESTOR SHAMES THE CHIEFS

The Achaeans are ashamed to refuse and afraid to accept. Menelaus scolds them and arms himself, but Agamemnon holds him back. Nestor shames them, wishing he were young as when he killed the giant Ereuthalion; none of them, he says, is eager to face Hector.

Ὣς ἔφαθ’, οἱ δ’ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
So he-spoke they and then all silent became in-silence
αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ’ ὑποδέχθαι·
they-were-ashamed indeed to-refuse they-feared and to-accept
ὀψὲ δὲ δὴ Μενέλαος ἀνίστατο καὶ μετέειπε
late and indeed Menelaus stood-up and spoke-among(-them)
νείκει ὀνειδίζων, μέγα δὲ στεναχίζετο θυμῷ·
rebuked chiding greatly and he-groaned in-heart

"ὤ μοι, ἀπειλητῆρες, Ἀχαϊῖδες, οὐκέτ' Ἀχαιοί·
ah me braggarts Achaean-women no-longer Achaeans
ἦ μὲν δὴ λώβη τάδε γ' ἔσσεται αἰνόθεν αἰνῶς,
truly indeed truly a-disgrace this indeed will-be dread-upon-dread dreadfully
εἰ μή τις Δαναῶν νῦν Ἕκτορος ἀντίος εἶσιν.
if not anyone of-the-Danaans now Hector against shall-go
ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε,
but you indeed all water and earth may-you-become
ἥμενοι αὖθι ἕκαστοι ἀκήριοι, ἀκλεὲς αὔτως·
sitting there each spiritless inglorious merely
τῷδε δ' ἐγὼν αὐτὸς θωρήξομαι· αὐτὰρ ὕπερθε
against-this-man and I myself will-arm but above
νίκης πείρατ' ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν."
of-victory the-ends are-held among the-immortal gods
Ὣς ἄρα φωνήσας κατεδύσετο τεύχεα καλά.
So then having-spoken he-put-on arms fair
ἔνθα κέ τοι, Μενέλαε, φάνη βιότοιο τελευτὴ
then — to-you Menelaus would-have-appeared of-life the-end
Ἕκτορος ἐν παλάμῃσιν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
of-Hector in the-hands since much mightier he-was
εἰ μὴ ἀναΐξαντες ἕλον βασιλῆες Ἀχαιῶν,
if not springing-up seized(-you) the-kings of-the-Achaeans
αὐτός τ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
himself and the-son-of-Atreus wide ruling Agamemnon
δεξιτερῆς ἕλε χειρὸς ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
by-the-right seized hand word and spoke out and named(-him)
"ἀφραίνεις, Μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ
you-are-mad Menelaus Zeus-nurtured nor at-all you is-it-needful
ταύτης ἀφροσύνης· ἀνὰ δὲ σχέο κηδόμενός περ,
of-this folly up and hold(-yourself) grieving though

μηδ᾽ ἔθελ᾽ ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι,
nor wish out-of rivalry than-you with-a-better man to-fight
Ἕκτορι Πριαμίδῃ, τόν τε στυγέουσι καὶ ἄλλοι.
with-Hector son-of-Priam whom — shudder-at also others
καὶ δ᾽ Ἀχιλεὺς τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ
even and Achilles this-man indeed battle in glory-giving
ἔρριγ᾽ ἀντιβολῆσαι, ὅ περ σέο πολλὸν ἀμείνων.
shuddered to-meet who indeed than-you by-far better
ἀλλὰ σὺ μὲν νῦν ἵζευ ἰὼν μετὰ ἕθνος ἑταίρων, 115
but you indeed now sit going among the-tribe of-comrades
τούτῳ δὲ πρόμον ἄλλον ἀναστήσουσιν Ἀχαιοί.
against-this-man and champion other will-set-up the-Achaeans
εἴ περ ἀδειής τ᾽ ἐστὶ καὶ εἰ μόθου ἔστ᾽ ἀκόρητος,
if indeed fearless both he-is and if of-the-tumult he-is insatiable
φημί μιν ἀσπασίως γόνυ κάμψειν, αἴ κε φύγῃσι
I-say him gladly the-knee will-bend if — he-escapes
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.”
hostile from war and dread combat
Ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως 120
So having-spoken he-persuaded of-his-brother the-mind the-hero
αἴσιμα παρειπών, ὁ δ᾽ ἐπείθετο· τοῦ μὲν ἔπειτα
fitting-things advising he and obeyed of-him indeed then
γηθόσυνοι θεράποντες ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο·
glad the-attendants from the-shoulders the-arms took
Νέστωρ δ᾽ Ἀργείοισιν ἀνίστατο καὶ μετέειπεν·
Nestor and among-the-Argives stood-up and spoke-among(-them)
“ὦ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.
oh for-shame truly great grief the-Achaean land reaches
ἦ κε μέγ᾽ οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς, 125
truly — greatly would-groan the-old horse-driving Peleus

ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ' ἀγορητής,
noble of-the-Myrmidons counselor and speaker
ὅς ποτέ μ' εἰρόμενος μέγ' ἐγήθεεν ᾧ ἐνὶ οἴκῳ,
who once me questioning greatly rejoiced his-own in house
πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.
of-all the-Argives asking the-lineage both birth and
τοὺς νῦν εἰ πτώσσοντας ὑφ' Ἕκτορι πάντας ἀκούσαι,
them now if cowering under Hector all he-should-hear
πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι,
many-times — to-the-immortals dear up hands he-would-lift
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴσω.
the-soul from the-limbs to-enter the-house of-Hades into
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
if-only for Zeus both father and Athena and Apollo
ἡβῷμ' ὡς ὅτ' ἐπ' ὠκυρόῳ Κελάδοντι μάχοντο
I-were-young as when beside swift-flowing Celadon fought
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι,
gathered Pylians both and Arcadians raging-with-the-spear
Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
of-Pheia beside the-walls of-Iardanus around the-streams
τοῖσι δ' Ἐρευθαλίων πρόμος ἵστατο, ἰσόθεος φώς,
among-them and Ereuthalion champion stood godlike man
τεύχε' ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος,
the-arms having on-his-shoulders of-Areithous lord
δίου Ἀρηϊθόου, τὸν ἐπίκλησιν κορυνήτην
noble Areithous whom by-surname the-club-bearer
ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες,
men called fair-girdled and women
οὔνεκ' ἄρ' οὐ τόξοισι μαχέσκετο δουρί τε μακρῷ,
because then not with-bows he-fought with-spear and long

ἀλλὰ σιδηρείῃ κορύνῃ ῥήγνυσκε φάλαγγας.
but with-iron club he-broke the-ranks
τὸν Λυκόοργος ἔπεφνε δόλῳ, οὔ τι κράτεϊ γε,
him Lycurgus slew by-guile not at-all by-strength indeed
στεινωπῷ ἐν ὁδῷ, ὅθ' ἄρ' οὐ κορύνη οἱ ὄλεθρον
narrow on road where then not the-club for-him destruction
χραῖσμε σιδηρείη· πρὶν γὰρ Λυκόοργος ὑποφθὰς
warded-off iron before for Lycurgus anticipating(-him)
δουρὶ μέσον περόνησεν, ὁ δ' ὕπτιος οὔδει ἐρείσθη·
with-spear in-the-middle pierced(-him) he and backward on-the-ground was-thrown
τεύχεα δ' ἐξενάριξε, τά οἱ πόρε χάλκεος Ἄρης.
the-arms and he-stripped which to-him gave bronze Ares
καὶ τὰ μὲν αὐτὸς ἔπειτα φόρει μετὰ μῶλον Ἄρηος·
and them indeed himself thereafter wore in the-toil of-Ares
αὐτὰρ ἐπεὶ Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα,
but when Lycurgus in halls grew-old
δῶκε δ' Ἐρευθαλίωνι φίλῳ θεράποντι φορῆναι·
he-gave(-them) and to-Ereuthalion dear attendant to-wear
τοῦ ὅ γε τεύχε' ἔχων προκαλίζετο πάντας ἀρίστους.
of-him he indeed the-arms having challenged all the-best
οἱ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν, οὐδέ τις ἔτλη·
they and greatly trembled and feared nor anyone dared
ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
but me the-spirit sent much-enduring to-fight
θάρσεϊ ᾧ· γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων·
in-boldness my-own in-birth and youngest I-was of-all
καὶ μαχόμην οἱ ἐγώ, δῶκεν δέ μοι εὖχος Ἀθήνη.
and I-fought with-him I gave and to-me glory Athena
τὸν δὴ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα·
him indeed tallest and mightiest I-killed man

πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.
huge for some he-lay sprawling here and there
εἴθ' ὣς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη·
if-only so I-were-young strength and to-me steadfast were
τῶ κε τάχ' ἀντήσειε μάχης κορυθαίολος Ἕκτωρ.
then — soon would-meet battle helmet-flashing Hector
ὑμέων δ' οἵ περ ἔασιν ἀριστῆες Παναχαιῶν,
of-you and who indeed are the-best of-all-the-Achaeans
οὐδ' οἱ προφρονέως μέμαθ' Ἕκτορος ἀντίον ἐλθεῖν."
not-even who readily are-eager Hector against to-go

VII.3 · AJAX CHOSEN

Nine chiefs rise, Agamemnon first, then Diomedes, the Ajaxes, Idomeneus, Meriones, Eurypylus, Thoas, and Odysseus. Nestor shakes their lots in Agamemnon's helmet, and the lot leaps out that the army wanted, the lot of Ajax, who recognizes his mark. He tells them to pray while he arms, and strides out like Ares, smiling grimly, with his towering shield of seven ox-hides made by Tychius. Hector's heart pounds, but he cannot withdraw, and he tells Ajax he knows every part of war and will strike him openly.

Ὣς νείκεσσ' ὁ γέρων, οἱ δ' ἐννέα πάντες ἀνέσταν.
So rebuked the old-man they and nine all stood-up
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
rose by-far first indeed lord of-men Agamemnon
τῷ δ' ἐπὶ Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης,
him and after the-son-of-Tydeus rose mighty Diomedes
τοῖσι δ' ἐπ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκήν,
them and after the-Ajaxes furious clothed-in strength
τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
them and after Idomeneus and the-companion of-Idomeneus

Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ,
Meriones equal to-Enyalius man-slaying
τοῖσι δ' ἐπ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός,
them and after Eurypylus of-Euaemon glorious son
ἂν δὲ Θόας Ἀνδραιμονίδης καὶ δῖος Ὀδυσσεύς·
up and Thoas son-of-Andraemon and noble Odysseus
πάντες ἄρ' οἵ γ' ἔθελον πολεμίζειν Ἕκτορι δίῳ.
all then they indeed wished to-fight with-Hector noble
τοῖς δ' αὖτις μετέειπε Γερήνιος ἱππότα Νέστωρ·
among-them and again spoke Gerenian horseman Nestor
"κλήρῳ νῦν πεπάλασθε διαμπερές, ὅς κε λάχῃσιν·
by-lot now shake-the-lots from-first-to-last whoever — obtains(-it)
οὗτος γὰρ δὴ ὀνήσει ἐϋκνήμιδας Ἀχαιούς,
he for indeed will-help well-greaved Achaeans
καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσεται, αἴ κε φύγῃσι
and indeed himself his-own heart will-profit if — he-escapes
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος."
hostile from war and dread combat
Ὣς ἔφαθ', οἱ δὲ κλῆρον ἐσημήναντο ἕκαστος,
So he-spoke they and a-lot marked each
ἐν δ' ἔβαλον κυνέῃ Ἀγαμέμνονος Ἀτρεΐδαο.
in and they-threw helmet of-Agamemnon of-the-son-of-Atreus
λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον·
the-people and prayed to-the-gods and hands held-up
ὧδε δέ τις εἶπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
thus and someone would-say looking into heaven broad
"Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν, ἢ Τυδέος υἱόν,
Zeus father either Ajax to-obtain(-it) or of-Tydeus the-son
ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο Μυκήνης."
or himself the-king of-rich-in-gold Mycenae

Ὣς ἄρ᾽ ἔφαν, πάλλεν δὲ Γερήνιος ἱππότα Νέστωρ,
So then they-spoke shook and Gerenian horseman Nestor
ἐκ δ᾽ ἔθορε κλῆρος κυνέης, ὃν ἄρ᾽ ἤθελον αὐτοί,
out and leapt the-lot from-the-helmet which then they-wished themselves
Αἴαντος· κῆρυξ δὲ φέρων ἀν᾽ ὅμιλον ἁπάντῃ
of-Ajax the-herald and carrying through the-throng everywhere
δεῖξ᾽ ἐνδέξια πᾶσιν ἀριστήεσσιν Ἀχαιῶν.
showed(-it) from-left-to-right to-all the-best of-the-Achaeans
οἱ δ᾽ οὐ γιγνώσκοντες ἀπηνήναντο ἕκαστος.
they and not recognizing(-it) disowned(-it) each
ἀλλ᾽ ὅτε δὴ τὸν ἵκανε φέρων ἀν᾽ ὅμιλον ἁπάντῃ,
but when indeed him he-reached carrying through the-throng everywhere
ὅς μιν ἐπιγράψας κυνέῃ βάλε, φαίδιμος Αἴας,
who it having-marked into-the-helmet had-thrown glorious Ajax
ἤτοι ὑπέσχεθε χεῖρ᾽, ὁ δ᾽ ἄρ᾽ ἔμβαλεν ἄγχι παραστάς,
truly he-held-out a-hand he and then cast(-it)-in near standing
γνὼ δὲ κλήρου σῆμα ἰδών, γήθησε δὲ θυμῷ.
he-knew and of-the-lot the-mark seeing rejoiced and in-heart
τὸν μὲν πὰρ πόδ᾽ ἑὸν χαμάδις βάλε φώνησέν τε·
it indeed beside foot his-own on-the-ground he-threw spoke and
"ὦ φίλοι, ἤτοι κλῆρος ἐμός, χαίρω δὲ καὶ αὐτὸς
O friends truly the-lot mine I-rejoice and also myself
θυμῷ, ἐπεὶ δοκέω νικησέμεν Ἕκτορα δῖον.
in-heart since I-think to-conquer Hector noble
ἀλλ᾽ ἄγετ᾽, ὄφρ᾽ ἂν ἐγὼ πολεμήϊα τεύχεα δύω,
but come while — I warlike arms put-on
τόφρ᾽ ὑμεῖς εὔχεσθε Διὶ Κρονίωνι ἄνακτι,
meanwhile you pray to-Zeus son-of-Cronus lord
σιγῇ ἐφ᾽ ὑμείων, ἵνα μὴ Τρῶές γε πύθωνται,
in-silence by yourselves so-that not the-Trojans indeed may-learn

ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης·
or even openly since not anyone we-fear nevertheless
οὐ γάρ τίς με βίῃ γε ἑκὼν ἀέκοντα δίηται,
not for any me by-force indeed willing unwilling shall-drive
οὐδέ τι ἰδρείῃ, ἐπεὶ οὐδ' ἐμὲ νήϊδά γ' οὕτως
nor at-all by-skill since not-even me unskilled indeed so
ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε."
I-hope in Salamis to-have-been-born both to-have-been-reared and
Ὣς ἔφαθ', οἱ δ' εὔχοντο Διὶ Κρονίωνι ἄνακτι· 200
So he-spoke they and prayed to-Zeus son-of-Cronus lord
ὧδε δέ τις εἶπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
thus and someone would-say looking into heaven broad
"Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
Zeus father from-Ida ruling most-glorious greatest
δὸς νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχος ἀρέσθαι·
grant victory to-Ajax and glorious glory to-win
εἰ δὲ καὶ Ἕκτορά περ φιλέεις καὶ κήδεαι αὐτοῦ,
if and even Hector indeed you-love and care-for him
ἴσην ἀμφοτέροισι βίην καὶ κῦδος ὄπασσον." 205
equal to-both might and glory grant
Ὣς ἄρ' ἔφαν, Αἴας δὲ κορύσσετο νώροπι χαλκῷ.
So then they-spoke Ajax and armed-himself in-gleaming bronze
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ ἕσσατο τεύχεα,
but when indeed all around flesh he-had-put-on arms
σεύατ' ἔπειθ' οἷός τε πελώριος ἔρχεται Ἄρης,
he-rushed then like — huge goes Ares
ὅς τ' εἶσιν πόλεμόνδε μετ' ἀνέρας, οὕς τε Κρονίων
who — goes to-war among men whom — the-son-of-Cronus
θυμοβόρου ἔριδος μένεϊ ξυνέηκε μάχεσθαι. 210
of-soul-devouring strife with-might has-brought-together to-fight

τοῖος ἄρ' Αἴας ὦρτο πελώριος, ἕρκος Ἀχαιῶν,
such then Ajax rose huge bulwark of-the-Achaeans
μειδιόων βλοσυροῖσι προσώπασι· νέρθε δὲ ποσσὶν
smiling with-grim face below and with-feet
ἤϊε μακρὰ βιβάς, κραδάων δολιχόσκιον ἔγχος.
he-went long strides-taking brandishing long-shadowed spear
τὸν δὲ καὶ Ἀργεῖοι μὲν ἐγήθεον εἰσορόωντες,
him and also the-Argives indeed rejoiced looking-on
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον,
the-Trojans and trembling dread came-under limbs each
Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν·
of-Hector and himself the-heart in breast pounded
ἀλλ' οὔ πως ἔτι εἶχεν ὑποτρέσαι οὐδ' ἀναδῦναι
but not in-any-way longer he-was-able to-tremble-back nor to-sink-back
ἂψ λαῶν ἐς ὅμιλον, ἐπεὶ προκαλέσσατο χάρμῃ.
back of-the-people into the-throng since he-had-challenged to-the-fight
Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον,
Ajax and near came carrying a-shield like a-tower
χάλκεον ἑπταβόειον, ὅ οἱ Τυχίος κάμε τεύχων,
bronze of-seven-hides which for-him Tychius labored making
σκυτοτόμων ὄχ' ἄριστος, Ὕλῃ ἔνι οἰκία ναίων,
of-leather-workers by-far best Hyle in homes dwelling
ὅς οἱ ἐποίησεν σάκος αἰόλον ἑπταβόειον
who for-him made a-shield gleaming of-seven-hides
ταύρων ζατρεφέων, ἐπὶ δ' ὄγδοον ἤλασε χαλκόν.
of-bulls well-fed on and an-eighth he-forged bronze
τὸ πρόσθε στέρνοιο φέρων Τελαμώνιος Αἴας
it before chest carrying Telamonian Ajax
στῆ ῥα μάλ' Ἕκτορος ἐγγύς, ἀπειλήσας δὲ προσηύδα·
stood then very of-Hector near threatening and addressed(-him)

“ Ἕκτορ, νῦν μὲν δὴ σάφα εἴσεαι οἰόθεν οἷος
Hector now indeed truly clearly you-will-know singly alone
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι,
of-what-sort also among-the-Danaans chieftains are-among(-them)
καὶ μετ’ Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.
even after Achilles man-breaking lion-hearted
ἀλλ’ ὁ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι
but he indeed in ships curved seafaring
κεῖτ’ ἀπομηνίσας Ἀγαμέμνονι, ποιμένι λαῶν·
lies raging-on against-Agamemnon shepherd of-the-people
ἡμεῖς δ’ εἰμὲν τοῖοι οἳ ἂν σέθεν ἀντιάσαιμεν
we and are such who — you might-meet
καὶ πολέες· ἀλλ’ ἄρχε μάχης ἠδὲ πτολέμοιο.”
and many but begin of-battle and of-war
Τὸν δ’ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Him and in-turn addressed great helmet-flashing Hector
“Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
Ajax Zeus-born Telamonian lord of-the-people
μή τί μευ ἠΰτε παιδὸς ἀφαυροῦ πειρήτιζε,
not at-all me like a-child feeble try
ἠὲ γυναικός, ἣ οὐκ οἶδεν πολεμήϊα ἔργα.
or a-woman who not knows warlike works
αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας τ’ ἀνδροκτασίας τε·
but I well know battles both man-slayings and
οἶδ’ ἐπὶ δεξιά, οἶδ’ ἐπ’ ἀριστερὰ νωμῆσαι βῶν
I-know to the-right I-know to the-left to-wield the-ox-hide
ἀζαλέην, τό μοι ἔστι ταλαύρινον πολεμίζειν·
dry which to-me is shield-bearing to-war
οἶδα δ’ ἐπαΐξαι μόθον ἵππων ὠκειάων·
I-know and to-rush-into the-tumult of-horses swift

οἶδα δ᾽ ἐνὶ σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρηϊ.
I-know and in close-fight hostile to-dance-to Ares
ἀλλ᾽ οὐ γάρ σ᾽ ἐθέλω βαλέειν τοιοῦτον ἐόντα
but not for you I-wish to-strike such being
λάθρῃ ὀπιπεύσας, ἀλλ᾽ ἀμφαδόν, αἴ κε τύχωμι.᾽᾽
secretly having-watched(-you) but openly if — I-hit(-you)

VII.4 · THE DUEL OF AJAX AND HECTOR

Hector's spear pierces six layers of Ajax's shield; Ajax's goes through Hector's shield and corselet, and Hector swerves. They charge each other like lions with their spears, and Ajax wounds Hector's neck. Hector throws a great stone, and Ajax breaks his shield with a bigger one and knocks him flat, but Apollo raises him up. The heralds part them at nightfall, saying Zeus loves both men. Hector praises Ajax and proposes they exchange gifts; he gives a silver-studded sword, Ajax a purple belt, and each returns to his own people.

Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
He-spoke then and poising sent-forth long-shadowed spear
καὶ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον
and struck of-Ajax the-dread shield of-seven-hides
ἀκρότατον κατὰ χαλκόν, ὃς ὄγδοος ἦεν ἐπ᾽ αὐτῷ.
outermost on bronze which eighth was on it
ἓξ δὲ διὰ πτύχας ἦλθε δαΐζων χαλκὸς ἀτειρής,
six and through layers went cleaving bronze unwearying
ἐν τῇ δ᾽ ἑβδομάτῃ ῥινῷ σχέτο· δεύτερος αὖτε
in the and seventh hide it-was-stopped second in-turn
Αἴας διογενὴς προΐει δολιχόσκιον ἔγχος,
Ajax Zeus-born sent-forth long-shadowed spear
καὶ βάλε Πριαμίδαο κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐΐσην.
and struck of-the-son-of-Priam on shield on-every-side balanced

διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
through indeed the-shield went shining the-mighty spear
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
and through the-corselet very-intricate it-was-thrust
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
straight-on and beside the-flank it-cut-through the-tunic
ἔγχος· ὁ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
the-spear he and swerved and escaped doom black
τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα χερσὶν ἄμ' ἄμφω
the-two and having-drawn-out long spears with-hands together both
σύν ῥ' ἔπεσον λείουσιν ἐοικότες ὠμοφάγοισιν,
together then fell-to to-lions like raw-eating
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν.
or to-swine boars of-which — the-strength not feeble
Πριαμίδης μὲν ἔπειτα μέσον σάκος οὔτασε δουρί,
the-son-of-Priam indeed then the-middle shield wounded with-spear
οὐδ' ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμή.
nor broke-through bronze was-bent-back and its point
Αἴας δ' ἀσπίδα νύξεν ἐπάλμενος· ἡ δὲ διαπρὸ
Ajax and the-shield pierced springing-on it and right-through
ἤλυθεν ἐγχείη, στυφέλιξε δέ μιν μεμαῶτα,
went the-spear thrust-back and him eager
τμήδην δ' αὐχέν' ἐπῆλθε, μέλαν δ' ἀνεκήκιεν αἷμα.
grazing and the-neck it-came-upon dark and gushed-up blood
ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης κορυθαίολος Ἕκτωρ,
but not-even so ceased from-battle helmet-flashing Hector
ἀλλ' ἀναχασσάμενος λίθον εἵλετο χειρὶ παχείῃ
but having-given-ground a-stone took with-hand stout
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε·
lying in the-plain black jagged both great and

τῷ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον
with-it he-struck of-Ajax the-dread shield of-seven-hides
μέσσον ἐπομφάλιον· περιήχησεν δ' ἄρα χαλκός.
in-the-middle on-the-boss rang-round and then bronze
δεύτερος αὖτ' Αἴας πολὺ μείζονα λᾶαν ἀείρας
second in-turn Ajax much greater a-stone lifting
ἧκ' ἐπιδινήσας, ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον,
hurled whirling(-it) leaned-on(-it) and strength immeasurable
270 εἴσω δ' ἀσπίδ' ἔαξε βαλὼν μυλοειδεῖ πέτρῳ,
in and the-shield he-broke striking with-a-millstone-like rock
βλάψε δέ οἱ φίλα γούναθ'· ὁ δ' ὕπτιος ἐξετανύσθη
damaged and his dear knees he and backward was-stretched-out
ἀσπίδι ἐγχριμφθείς· τὸν δ' αἶψ' ὤρθωσεν Ἀπόλλων.
with-the-shield crushed him and quickly raised-up Apollo
καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν οὐτάζοντο,
and now — indeed with-swords at-close-quarters would-have-wounded(-each-other)
εἰ μὴ κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν,
if not heralds of-Zeus messengers and also of-men
275 ἦλθον, ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν χαλκοχιτώνων,
had-come one indeed of-the-Trojans the-other and of-the-Achaeans bronze-coated
Ταλθύβιός τε καὶ Ἰδαῖος, πεπνυμένω ἄμφω·
Talthybius both and Idaeus prudent both
μέσσῳ δ' ἀμφοτέρων σκῆπτρα σχέθον, εἶπέ τε μῦθον
in-the-middle and of-both staffs held spoke and word
κῆρυξ Ἰδαῖος, πεπνυμένα μήδεα εἰδώς·
herald Idaeus prudent counsels knowing
"μηκέτι, παῖδε φίλω, πολεμίζετε μηδὲ μάχεσθον·
no-longer sons dear make-war nor fight
280 ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα Ζεύς,
both for you-two loves cloud-gatherer Zeus

ἄμφω δ᾽ αἰχμητά· τό γε δὴ καὶ ἴδμεν ἅπαντες.
both and spearmen this indeed indeed even know all
νὺξ δ᾽ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι.”
night and already is-coming good also to-the-night to-yield
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
Him and answering addressed Telamonian Ajax
“ Ἰδαῖ᾽, Ἕκτορα ταῦτα κελεύετε μυθήσασθαι·
Idaeus Hector these-things bid to-say
αὐτὸς γὰρ χάρμῃ προκαλέσσατο πάντας ἀρίστους.
himself for to-the-fight challenged all the-best
ἀρχέτω· αὐτὰρ ἐγὼ μάλα πείσομαι ᾗ περ ἂν οὗτος.”
let-him-begin but I very will-obey as indeed — he
Τὸν δ᾽ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Him and in-turn addressed great helmet-flashing Hector
“Αἶαν, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε
Ajax since to-you gave a-god stature both strength and
καὶ πινυτήν, περὶ δ᾽ ἔγχει Ἀχαιῶν φέρτατός ἐσσι,
and wisdom above and with-the-spear of-the-Achaeans mightiest you-are
νῦν μὲν παυσώμεσθα μάχης καὶ δηϊοτῆτος
now indeed let-us-cease from-battle and combat
σήμερον· ὕστερον αὖτε μαχησόμεθ᾽, εἰς ὅ κε δαίμων
today later in-turn we-will-fight until the-time — a-divinity
ἄμμε διακρίνῃ, δώῃ δ᾽ ἑτέροισί γε νίκην.
us decides grant and to-one-side indeed victory
νὺξ δ᾽ ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι,
night and already is-coming good also to-the-night to-yield
ὡς σύ τ᾽ ἐϋφρήνῃς πάντας παρὰ νηυσὶν Ἀχαιούς,
so-that you both may-gladden all beside the-ships the-Achaeans
σούς τε μάλιστα ἕτας καὶ ἑταίρους, οἵ τοι ἔασιν·
yours both most kinsmen and comrades who to-you are

αὐτὰρ ἐγὼ κατὰ ἄστυ μέγα Πριάμοιο ἄνακτος
but I through the-town great of-Priam lord
Τρῶας ἐϋφρανέω καὶ Τρῳάδας ἑλκεσιπέπλους,
the-Trojans will-gladden and the-Trojan-women with-trailing-robes
αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα.
who — for-me praying the-divine will-enter assembly
δῶρα δ' ἄγ' ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω,
gifts and come to-each-other very-famed let-us-give both
ὄφρα τις ὧδ' εἴπῃσιν Ἀχαιῶν τε Τρώων τε·
so-that someone thus may-say of-the-Achaeans both of-the-Trojans and
'ἠμὲν ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο,
both they-fought strife about soul-devouring
ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε.'"
and in-turn in friendship they-parted having-joined-in-friendship
Ὣς ἄρα φωνήσας δῶκε ξίφος ἀργυρόηλον,
So then having-spoken he-gave a-sword silver-studded
σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι·
with scabbard both bringing(-it) and well-cut baldric
Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν.
Ajax and a-belt gave with-purple shining
τὼ δὲ διακρινθέντε ὁ μὲν μετὰ λαὸν Ἀχαιῶν
the-two and separated he indeed to the-people of-the-Achaeans
ᾤϊ', ὁ δ' ἐς Τρώων ὅμαδον κίε· τοὶ δ' ἐχάρησαν,
went he and to of-the-Trojans the-throng went they and rejoiced
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα,
as they-saw(-him) alive both and sound approaching
Αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους·
of-Ajax having-escaped the-might and hands invincible
καί ῥ' ἦγον προτὶ ἄστυ, ἀελπτέοντες σόον εἶναι.
and then they-led(-him) to the-town not-hoping safe to-be

Αἴαντ᾽ αὖθ᾽ ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
Ajax in-turn on-the-other-side well-greaved Achaeans
εἰς Ἀγαμέμνονα δῖον ἄγον, κεχαρηότα νίκῃ.
to Agamemnon noble led rejoicing in-victory

VII.5 · THE TRUCE FOR THE DEAD

At Agamemnon's feast Nestor proposes a truce to burn the dead, and towers, gates, and a ditch to guard the ships. In the Trojan assembly Antenor urges them to give back Helen, since they fight as perjurers; Paris refuses, but offers the treasures with more of his own. Priam sends Idaeus to the ships with the offer and a request for a truce. Diomedes says to refuse even the treasures, since the Trojans are doomed.

Οἱ δ᾽ ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρεΐδαο γένοντο,
They and when indeed the-huts in of-the-son-of-Atreus were
τοῖσι δὲ βοῦν ἱέρευσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
for-them and an-ox sacrificed lord of-men Agamemnon
ἄρσενα πενταέτηρον ὑπερμενέϊ Κρονίωνι.
male five-year-old to-the-over-mighty son-of-Cronus
τὸν δέρον ἀμφί θ᾽ ἔπον, καί μιν διέχευαν ἅπαντα,
it they-flayed around and they-busied-themselves and it jointed all
μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως πεῖράν τ᾽ ὀβελοῖσιν,
cut-up and then skillfully pierced and on-spits
ὄπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
roasted and carefully drew-off and all
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα,
but when they-ceased from-toil had-prepared and the-feast
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης·
they-feasted nor at-all heart lacked of-feast equal

νώτοισιν δ' Αἴαντα διηνεκέεσσι γέραιρεν
with-the-chines and Ajax long-running honored
ἥρως Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων.
the-hero son-of-Atreus wide ruling Agamemnon
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-had-put
τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν
for-them the old-man first-of-all to-weave began counsel
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
Nestor whose also before best seemed counsel
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them with-good-intent addressed-the-assembly and spoke-among(-them)
" Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
son-of-Atreus both and other best of-all-the-Achaeans
πολλοὶ γὰρ τεθνᾶσι κάρη κομόωντες Ἀχαιοί,
many for have-died on-head long-haired Achaeans
τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον
of-whom now the-blood dark fair-flowing around Scamander
ἐσκέδασ' ὀξὺς Ἄρης, ψυχαὶ δ' Ἀϊδόσδε κατῆλθον·
has-scattered keen Ares the-souls and to-Hades have-gone-down
τῷ σε χρὴ πόλεμον μὲν ἅμ' ἠοῖ παῦσαι Ἀχαιῶν,
therefore you it-is-needful the-war indeed at dawn to-stop of-the-Achaeans
αὐτοὶ δ' ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς
ourselves and gathered will-wheel here the-corpses
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακήομεν αὐτοὺς
with-oxen and mules but let-us-burn them
τυτθὸν ἀποπρὸ νεῶν, ὥς κ' ὀστέα παισὶν ἕκαστος
a-little far-from the-ships so-that — bones to-the-children each
οἴκαδ' ἄγῃ, ὅτ' ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
home may-take when — again we-return to-native land

τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες
a-mound and around the-pyre one let-us-heap bringing(-earth)
ἄκριτον ἐκ πεδίου· ποτὶ δ' αὐτὸν δείμομεν ὦκα
indiscriminate from the-plain against and it let-us-build quickly
πύργους ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
towers high a-shelter of-ships both and of-ourselves
ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας,
in and them gates we-will-make well fitted
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
so-that through them for-driving-horses a-way may-be
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
outside and a-deep we-will-dig near ditch
ἥ χ' ἵππον καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα,
which — horse and people may-hold-back around being
μή ποτ' ἐπιβρίσῃ πόλεμος Τρώων ἀγερώχων."
lest ever may-press-heavy the-war of-the-Trojans lordly
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνησαν βασιλῆες.
So he-spoke they and then all approved kings
Τρώων αὖτ' ἀγορὴ γένετ' Ἰλίου ἐν πόλει ἄκρῃ,
of-the-Trojans in-turn an-assembly arose of-Ilium in the-city at-the-top
δεινὴ τετρηχυῖα, παρὰ Πριάμοιο θύρῃσι·
dread in-turmoil beside of-Priam the-doors
τοῖσιν δ' Ἀντήνωρ πεπνυμένος ἦρχ' ἀγορεύειν·
among-them and Antenor prudent began to-speak
"κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
hear me Trojans and Dardanians and allies
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
so-that I-may-say what me the-heart in breast bids

δεῦτ᾽ ἄγετ᾽, Ἀργείην Ἑλένην καὶ κτήματ᾽ ἄμ᾽ αὐτῇ
come come Argive Helen and the-possessions with her
δώομεν Ἀτρεΐδῃσιν ἄγειν· νῦν δ᾽ ὅρκια πιστὰ
let-us-give to-the-sons-of-Atreus to-take now and the-oaths faithful
ψευσάμενοι μαχόμεσθα· τῶ οὔ νύ τι κέρδιον ἡμῖν
having-played-false we-fight therefore not now any more-profitable for-us
ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.᾽᾽
I-expect to-be-accomplished where not we-do thus
Ἦτοι ὅ γ᾽ ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο· τοῖσι δ᾽ ἀνέστη
Truly he indeed so having-spoken down then sat among-them and rose
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
noble Alexander of-Helen husband lovely-haired
ὅς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
who him answering words winged addressed
᾽᾽ Ἀντῆνορ, σὺ μὲν οὐκέτ᾽ ἐμοὶ φίλα ταῦτ᾽ ἀγορεύεις·
Antenor you indeed no-longer to-me dear these-things speak
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
you-know also another word better than-this to-devise
εἰ δ᾽ ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
if and truly indeed this-thing from earnestness you-speak
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὄλεσαν αὐτοί.
out then indeed for-you then the-gods the-wits destroyed themselves
αὐτὰρ ἐγὼ Τρώεσσι μεθ᾽ ἱπποδάμοις ἀγορεύσω·
but I the-Trojans among horse-taming will-speak
ἀντικρὺ δ᾽ ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω·
outright and I-refuse the-woman indeed not I-will-give-back
κτήματα δ᾽ ὅσσ᾽ ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ
the-possessions but as-many-as I-brought from Argos to-our house
πάντ᾽ ἐθέλω δόμεναι καὶ οἴκοθεν ἄλλ᾽ ἐπιθεῖναι.᾽᾽
all I-am-willing to-give and from-home others to-add

Ἤτοι ὅ γ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Truly he indeed so having-spoken down then sat among-them and rose
Δαρδανίδης Πρίαμος, θεόφιν μήστωρ ἀτάλαντος,
the-Dardanian Priam to-the-gods in-counsel equal
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπε·
he to-them with-good-intent addressed-the-assembly and spoke-among(-them)
"κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
hear me Trojans and Dardanians and allies
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
so-that I-may-say what me the-heart in breast bids
νῦν μὲν δόρπον ἕλεσθε κατὰ πτόλιν, ὡς τὸ πάρος περ,
now indeed supper take through the-city as the before indeed
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος·
and of-the-watch be-mindful and be-awake each
ἠῶθεν δ' Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας
at-dawn and Idaeus let-him-go hollow to ships
εἰπέμεν Ἀτρεΐδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ,
to-tell to-the-sons-of-Atreus Agamemnon and Menelaus
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
the-word of-Alexander of-whom for-the-sake the-strife has-arisen
καὶ δὲ τόδ' εἰπέμεναι πυκινὸν ἔπος, αἴ κ' ἐθέλωσι
and also this to-tell shrewd word if — they-wish
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
to-cease from-war ill-sounding until the-time — the-corpses
κήομεν· ὕστερον αὖτε μαχησόμεθ', εἰς ὅ κε δαίμων
we-burn later in-turn we-will-fight until the-time — a-divinity
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην."
us decides grant and to-one-side indeed victory

Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
So he-spoke they and then him very indeed heard and obeyed
δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσιν·
supper then took through the-host in ranks
ἠῶθεν δ' Ἰδαῖος ἔβη κοίλας ἐπὶ νῆας·
at-dawn and Idaeus went hollow to ships
τοὺς δ' εὗρ' εἰν ἀγορῇ Δαναοὺς θεράποντας Ἄρηος
them and he-found in assembly the-Danaans attendants of-Ares
νηῒ πάρα πρύμνῃ Ἀγαμέμνονος· αὐτὰρ ὁ τοῖσι
the-ship beside stern of-Agamemnon but he among-them
στὰς ἐν μέσσοισιν μετεφώνεεν ἠπύτα κῆρυξ·
standing in the-middle spoke-among the-loud-voiced herald
" Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
son-of-Atreus both and other best of-all-the-Achaeans
ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ
bade Priam both and other Trojans lordly
εἰπεῖν, αἴ κέ περ ὔμμι φίλον καὶ ἡδὺ γένοιτο,
to-say if — indeed to-you dear and sweet it-should-be
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
the-word of-Alexander of-whom for-the-sake the-strife has-arisen
κτήματα μὲν ὅσ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
the-possessions indeed as-many-as Alexander hollow in ships
ἠγάγετο Τροίηνδ' — ὡς πρὶν ὤφελλ' ἀπολέσθαι —
brought to-Troy as before he-ought to-have-perished
πάντ' ἐθέλει δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι·
all he-is-willing to-give and besides from-home others to-add
κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο
the-wedded but wife of-Menelaus glorious
οὔ φησιν δώσειν· ἦ μὴν Τρῶές γε κέλονται.
not he-says he-will-give truly indeed the-Trojans indeed bid(-him)

καὶ δὲ τόδ' ἠνώγεον εἰπεῖν ἔπος, αἴ κ' ἐθέλητε
and also this they-bade to-say word if — you-wish
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
to-cease from-war ill-sounding until the-time — the-corpses
κήομεν· ὕστερον αὖτε μαχησόμεθ', εἰς ὅ κε δαίμων
we-burn later in-turn we-will-fight until the-time — a-divinity
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην."
us decides grant and to-one-side indeed victory
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
So he-spoke they and then all silent became in-silence
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
late and indeed spoke-among at-the-war-cry good Diomedes
"μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω
neither then anyone now the-possessions of-Alexander let-him-accept
μήθ' Ἑλένην· γνωτὸν δὲ καὶ ὃς μάλα νήπιός ἐστιν,
nor Helen known and even who very foolish is
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται."
that already to-the-Trojans of-destruction the-ends are-fastened

The Achaeans shout their approval, and Agamemnon grants the truce. Both armies wash their dead and burn them in silence. Before dawn the Achaeans build a mound over the pyre, a wall with towers and gates, and a ditch with stakes. Poseidon complains that its fame will eclipse the wall he and Apollo built for Laomedon, and Zeus tells him to sweep it into the sea when the Achaeans have gone. Ships bring wine from Lemnos, and both armies feast all night. Zeus thunders, and no one dares drink before pouring a libation.

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν,
So he-spoke they and then all shouted-aloud the-sons of-the-Achaeans
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο·
the-word admiring of-Diomedes horse-taming
καὶ τότ' ἄρ' Ἰδαῖον προσέφη κρείων Ἀγαμέμνων·
and then then Idaeus addressed lord Agamemnon
" Ἰδαῖ', ἦτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις,
Idaeus truly the-word of-the-Achaeans yourself you-hear
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιανδάνει οὕτως.
how to-you they-answer to-me and it-is-pleasing so
ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔ τι μεγαίρω·
about and the-dead to-burn(-them) not at-all I-grudge
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
not for any sparing of-corpses dead
γίγνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν ὦκα.
is when — they-die with-fire to-soothe(-them) quickly
ὅρκια δὲ Ζεὺς ἴστω, ἐρίγδουπος πόσις Ἥρης."
the-oaths and Zeus let-him-witness loud-thundering husband of-Hera

Ὣς εἰπὼν τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσιν,
So having-spoken the staff he-raised-up to-all the-gods
ἄψορρον δ' Ἰδαῖος ἔβη προτὶ Ἴλιον ἱρήν.
back and Idaeus went to Ilium sacred
οἱ δ' ἕατ' εἰν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες,
they and sat in assembly Trojans and Dardanians
πάντες ὁμηγερέες, ποτιδέγμενοι ὁππότ' ἄρ' ἔλθοι
all assembled waiting when then he-should-come
Ἰδαῖος· ὁ δ' ἄρ' ἦλθε καὶ ἀγγελίην ἀπέειπε
Idaeus he and then came and the-message delivered
στὰς ἐν μέσσοισιν· τοὶ δ' ὁπλίζοντο μάλ' ὦκα,
standing in the-middle they and made-ready very quickly
ἀμφότερον, νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην·
both corpses both to-bring others and after wood
Ἀργεῖοι δ' ἑτέρωθεν ἐϋσσέλμων ἀπὸ νηῶν
the-Argives and on-the-other-side well-benched from the-ships
ὀτρύνοντο νέκυς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην.
hastened corpses both to-bring others and after wood
Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
The-sun indeed then newly was-striking the-fields
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο
from softly-flowing deep-flowing Ocean
οὐρανὸν εἰσανιών· οἱ δ' ἤντεον ἀλλήλοισιν.
heaven ascending they and met each-other
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα ἕκαστον·
there to-distinguish hard was man each
ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα,
but with-water washing from the-gore bloody
δάκρυα θερμὰ χέοντες ἀμαξάων ἐπάειραν.
tears hot shedding onto-wagons they-lifted(-them)

οὐδ᾽ εἴα κλαίειν Πρίαμος μέγας· οἱ δὲ σιωπῇ
nor allowed to-weep Priam great they and in-silence
νεκροὺς πυρκαϊῆς ἐπενήνεον ἀχνύμενοι κῆρ,
the-corpses on-the-pyre heaped grieving at-heart
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ἴλιον ἱρήν.
in and fire having-burned(-them) went to Ilium sacred
ὣς δ᾽ αὖτως ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
so and likewise on-the-other-side well-greaved Achaeans
νεκροὺς πυρκαϊῆς ἐπινήνεον ἀχνύμενοι κῆρ,
the-corpses on-the-pyre heaped grieving at-heart
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας.
in and fire having-burned(-them) went hollow to ships
Ἧμος δ᾽ οὔτ᾽ ἄρ πω ἠώς, ἔτι δ᾽ ἀμφιλύκη νύξ,
When and not then yet dawn still and twilight night
τῆμος ἄρ᾽ ἀμφὶ πυρὴν κριτὸς ἔγρετο λαὸς Ἀχαιῶν,
then then about the-pyre chosen rose the-people of-the-Achaeans
τύμβον δ᾽ ἀμφ᾽ αὐτὴν ἕνα ποίεον ἐξαγαγόντες
a-mound and around it one made bringing(-earth)
ἄκριτον ἐκ πεδίου, ποτὶ δ᾽ αὐτὸν τεῖχος ἔδειμαν
indiscriminate from the-plain against and it a-wall built
πύργους θ᾽ ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
towers and high a-shelter of-ships both and of-themselves
ἐν δ᾽ αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας,
in and them gates they-made-in well fitted
ὄφρα δι᾽ αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
so-that through them for-driving-horses a-way might-be
ἔκτοσθεν δὲ βαθεῖαν ἐπ᾽ αὐτῷ τάφρον ὄρυξαν,
outside and deep along it a-ditch dug
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξαν.
broad great in and stakes fixed

Ὣς οἱ μὲν πονέοντο κάρη κομόωντες Ἀχαιοί·
So they indeed toiled on-head long-haired Achaeans
οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ
they and the-gods beside Zeus sitting the-lightning-hurler
θηεῦντο μέγα ἔργον Ἀχαιῶν χαλκοχιτώνων.
gazed-at the-great work of-the-Achaeans bronze-coated
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
among-them and of-words began Poseidon earth-shaker
"Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν
Zeus father truly then any is of-mortals on boundless earth
ὅς τις ἔτ' ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίψει;
who any still to-the-immortals mind and counsel will-declare
οὐχ ὁράᾳς ὅτι δὴ αὖτε κάρη κομόωντες Ἀχαιοὶ
not do-you-see that now in-turn on-head long-haired Achaeans
τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
a-wall have-walled the-ships for around and a-ditch
ἤλασαν, οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας;
drove nor to-the-gods gave glorious hecatombs
τοῦ δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς·
of-this and truly the-fame will-be as-far-as — spreads dawn
τοῦ δ' ἐπιλήσονται τὸ ἐγὼ καὶ Φοῖβος Ἀπόλλων
that and they-will-forget which I and Phoebus Apollo
ἥρῳ Λαομέδοντι πολίσσαμεν ἀθλήσαντε."
for-the-hero Laomedon built having-toiled
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Him and greatly vexed addressed cloud-gatherer Zeus
"ὤ πόποι, ἐννοσίγαι' εὐρυσθενές, οἷον ἔειπες.
oh for-shame earth-shaker wide-mighty what you-spoke
ἄλλος κέν τις τοῦτο θεῶν δείσειε νόημα,
another — some this of-the-gods might-fear thought

ὃς σέο πολλὸν ἀφαυρότερος χείράς τε μένος τε·
who than-you much feebler in-hands both might and
σὸν δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς.
your and truly the-fame will-be as-far-as — spreads dawn
ἄγρει μάν, ὅτ' ἂν αὖτε κάρη κομόωντες Ἀχαιοὶ
come indeed when — again on-head long-haired Achaeans
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,
go with ships dear to native land
τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
the-wall breaking-up it indeed into the-sea all pour
αὖτις δ' ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι,
again and the-beach great with-sands cover
ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν."
so-that — for-you the-great wall be-leveled of-the-Achaeans
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
δύσετο δ' ἠέλιος, τετέλεστο δὲ ἔργον Ἀχαιῶν,
set and the-sun was-accomplished and the-work of-the-Achaeans
βουφόνεον δὲ κατὰ κλισίας καὶ δόρπον ἕλοντο.
they-slaughtered-oxen and through the-huts and supper took
νῆες δ' ἐκ Λήμνοιο παρέστασαν οἶνον ἄγουσαι
ships and from Lemnos stood-by wine bringing
πολλαί, τὰς προέηκεν Ἰησονίδης Εὔνηος,
many which sent son-of-Jason Euneus
τόν ῥ' ἔτεχ' Ὑψιπύλη ὑπ' Ἰήσονι, ποιμένι λαῶν.
whom then bore Hypsipyle to Jason shepherd of-the-people
χωρὶς δ' Ἀτρεΐδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ,
apart and to-the-sons-of-Atreus Agamemnon and Menelaus
δῶκεν Ἰησονίδης ἀγέμεν μέθυ, χίλια μέτρα.
gave the-son-of-Jason to-carry wine a-thousand measures

ἔνθεν οἰνίζοντο κάρη κομόωντες Ἀχαιοί,
thence bought-wine on-head long-haired Achaeans
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,
some indeed with-bronze others and with-gleaming iron
ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτῇσι βόεσσιν,
others and with-hides others and with-the-very cattle
ἄλλοι δ' ἀνδραπόδεσσι· τίθεντο δὲ δαῖτα θάλειαν.
others and with-slaves they-set and a-feast abundant
παννύχιοι μὲν ἔπειτα κάρη κομόωντες Ἀχαιοὶ
all-night indeed then on-head long-haired Achaeans
δαίνυντο, Τρῶες δὲ κατὰ πτόλιν ἠδ' ἐπίκουροι·
feasted the-Trojans and through the-city and allies
παννύχιος δέ σφιν κακὰ μήδετο μητίετα Ζεὺς
all-night and for-them evils devised counselor Zeus
σμερδαλέα κτυπέων· τοὺς δὲ χλωρὸν δέος ᾕρει·
terribly thundering them and pale fear seized
οἶνον δ' ἐκ δεπάων χαμάδις χέον, οὐδέ τις ἔτλη
the-wine and from cups to-the-ground they-poured nor anyone dared
πρὶν πιέειν, πρὶν λεῖψαι ὑπερμενέϊ Κρονίωνι.
before to-drink before to-pour-libation to-the-over-mighty son-of-Cronus
κοιμήσαντ' ἄρ' ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο.
they-lay-down then thereafter and of-sleep the-gift took

BOOK VIII

VIII.1 · ZEUS FORBIDS THE GODS

At dawn Zeus forbids the gods to help either side, threatening to hurl any disobedient god into Tartarus. If they all hung on a golden chain, he says, they could not pull him down, while he could pull them up with earth and sea. Athena answers that they will keep out of the war but give the Argives counsel. Zeus drives to Gargarus on Ida and watches. The armies clash, and at noon he weighs their fates in his golden scales; the Achaeans' sinks, and he sends lightning among them.

Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν.
Dawn indeed saffron-robed was-spreading all over the-earth
Ζεὺς δὲ θεῶν ἀγορὴν ποιήσατο τερπικέραυνος
Zeus and of-the-gods an-assembly made thunder-delighting
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο·
on-the-highest peak of-many-ridged Olympus
αὐτὸς δέ σφ' ἀγόρευε, θεοὶ δ' ὑπὸ πάντες ἄκουον·
himself and to-them spoke the-gods and under all listened
"κέκλυτέ μευ, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι, 5
hear me all both gods all and goddesses
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
so-that I-may-say what me the-heart in breast bids
μήτε τις οὖν θήλεια θεὸς τό γε μήτε τις ἄρσην
neither any then female god this indeed nor any male
πειράτω διακέρσαι ἐμὸν ἔπος, ἀλλ' ἅμα πάντες
let-him-try to-cut-short my word but together all
αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
approve so-that most-quickly I-may-accomplish these deeds

ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
whom and — I apart from-the-gods wishing see
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσι,
having-gone either the-Trojans to-help or the-Danaans
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·
struck not according-to order he-will-come to-Olympus
ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα,
or him seizing I-will-hurl into Tartarus misty
τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,
far very where deepest beneath the-earth is a-pit
ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,
there iron both gates and bronze threshold
τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
so-far beneath Hades as heaven is from earth
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
you-will-know then how-much I-am of-the-gods mightiest of-all
εἰ δ' ἄγε πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες·
if and come try gods so-that you-may-know all
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες
a-chain golden from heaven hanging
πάντες τ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι·
all both fasten-on gods all and goddesses
ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
but not — you-could-drag from heaven to-the-plain
Ζῆν' ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
Zeus highest counselor not-even if very much you-toiled
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
but when indeed also I readily should-wish to-drag(-you)
αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ·
with-the-very — earth I-would-drag(-you) with-the-very and sea

σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
the-chain indeed — then around the-peak of-Olympus
δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
I-would-bind they and — in-turn aloft all would-be
τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων."
so-much I above both am the-gods above and am men
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
So he-spoke they and then all silent became in-silence
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν.
the-word admiring very for mightily he-had-spoken
ὀψὲ δὲ δὴ μετέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
late and indeed spoke-among the-goddess flashing-eyed Athena
"ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
O father our son-of-Cronus highest of-rulers
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν·
well now also we know that your strength not yielding
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
but nevertheless the-Danaans we-lament spearmen
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται.
who — indeed evil fate fulfilling perish
ἀλλ' ἤτοι πολέμου μὲν ἀφεξόμεθ', ὡς σὺ κελεύεις·
but truly from-war indeed we-will-keep-away as you bid
βουλὴν δ' Ἀργείοις ὑποθησόμεθ', ἥ τις ὀνήσει,
counsel and to-the-Argives we-will-suggest which any will-help
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο."
so-that not all perish being-angered you

Τὴν δ' ἐπιμειδήσας προσέφη νεφεληγερέτα Ζεύς·
Her and smiling addressed cloud-gatherer Zeus
"θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
take-courage Trito-born dear child not now at-all in-heart
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι."
earnest I-speak I-wish and to-you kindly to-be
Ὣς εἰπὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
So having-spoken under the-chariot he-yoked bronze-hoofed horses
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε,
swift-flying with-golden manes long-haired
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάσθλην
gold and himself put-on around flesh took and the-whip
χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπιβήσετο δίφρου,
golden well-wrought his-own and he-mounted chariot
μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἀέκοντε πετέσθην
he-whipped and to-drive the-two and not unwilling flew
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
between earth both and heaven starry
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν,
Ida and he-reached many-fountained mother of-beasts
Γάργαρον, ἔνθα τέ οἱ τέμενος βωμός τε θυήεις.
Gargarus where — his precinct altar and fragrant
ἔνθ' ἵππους ἔστησε πατὴρ ἀνδρῶν τε θεῶν τε
there the-horses halted the-father of-men both of-gods and
λύσας ἐξ ὀχέων, κατὰ δ' ἠέρα πουλὺν ἔχευεν.
loosing(-them) from the-chariot down and mist much he-poured
αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων,
himself and on the-peaks sat in-glory exulting
εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν.
looking-upon of-the-Trojans both the-city and the-ships of-the-Achaeans

Οἱ δ' ἄρα δεῖπνον ἕλοντο κάρη κομόωντες Ἀχαιοὶ
They and then breakfast took on-head long-haired Achaeans
ῥίμφα κατὰ κλισίας, ἀπὸ δ' αὐτοῦ θωρήσσοντο.
quickly through the-huts from and it they-armed
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὁπλίζοντο,
the-Trojans and in-turn on-the-other-side through the-city armed-themselves
παυρότεροι· μέμασαν δὲ καὶ ὣς ὑσμῖνι μάχεσθαι,
fewer they-were-eager and even so in-combat to-fight
χρειοῖ ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
by-need compelling before both children and before wives
πᾶσαι δ' ὠΐγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαός,
all and were-opened the-gates out and rushed the-people
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
on-foot both horsemen and great and din arose
Οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο
They and when indeed then into place one meeting came
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
together then they-dashed shields together and spears and might of-men
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
bronze-corseleted but shields bossed
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
pressed-on each-other great and din arose
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
there and together wailing both and boasting was of-men
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα.
of-slaying both and of-being-slain flowed and with-blood the-earth
Ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
While indeed dawn was and was-waxing the-sacred day
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἤπτετο, πῖπτε δὲ λαός.
so-long very of-both the-missiles struck fell and the-people

ἦμος δ᾽ Ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
when and the-Sun the-middle heaven had-bestridden
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·
and then indeed the-golden father stretched scales
ἐν δὲ τίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
in and he-put two fates of-long-woeful death
Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων,
of-Trojans both horse-taming and of-Achaeans bronze-coated
ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ᾽ αἴσιμον ἦμαρ Ἀχαιῶν.
he-drew and in-the-middle taking sank and the-fated day of-the-Achaeans
αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ
they indeed of-the-Achaeans the-fates on earth much-nourishing
ἑζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν·
settled of-the-Trojans and toward heaven broad were-raised
αὐτὸς δ᾽ ἐξ Ἴδης μεγάλ᾽ ἔκτυπε, δαιόμενον δὲ
himself and from Ida loudly thundered blazing and
ἧκε σέλας μετὰ λαὸν Ἀχαιῶν· οἱ δὲ ἰδόντες
sent a-flash among the-people of-the-Achaeans they and seeing
θάμβησαν, καὶ πάντας ὑπὸ χλωρὸν δέος εἷλεν.
were-amazed and all under pale fear seized

The Achaean chiefs flee, and only Nestor is left, his trace horse shot in the head by Paris. As Hector bears down on him, Diomedes calls in vain on Odysseus to help, then takes Nestor into his own chariot. His spear misses Hector but kills his charioteer, and Hector finds another. Zeus throws a thunderbolt in front of Diomedes' horses, and Nestor warns him that Zeus is against them. Diomedes dreads Hector's boast that he fled, and Nestor answers that the widows of the men he killed will not believe it.

Ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων,
Then neither Idomeneus dared to-stay nor Agamemnon
οὔτε δύ' Αἴαντες μενέτην, θεράποντες Ἄρηος·
nor the-two Ajaxes stayed attendants of-Ares
Νέστωρ οἷος ἔμιμνε Γερήνιος, οὖρος Ἀχαιῶν,
Nestor alone stayed Gerenian guardian of-the-Achaeans
οὔ τι ἑκών, ἀλλ' ἵππος ἐτείρετο, τὸν βάλεν ἰῷ
not at-all willing but the-horse was-distressed which struck with-an-arrow
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
noble Alexander of-Helen husband lovely-haired
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων
topmost down-on the-crown where — the-first hairs of-horses
κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστιν.
on-the-skull grow most and deadly it-is
ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ,
in-pain and it-reared the-arrow and into the-brain sank
σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.
together and the-horses it-confounded rolling around bronze

ὄφρ᾽ ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνε
while the old-man of-the-horse the-trace-straps was-cutting-away
φασγάνῳ ἀΐσσων, τόφρ᾽ Ἕκτορος ὠκέες ἵπποι
with-sword darting meanwhile of-Hector the-swift horses
ἦλθον ἀν᾽ ἰωχμὸν θρασὺν ἡνίοχον φορέοντες
came through the-rout bold charioteer carrying
Ἕκτορα· καί νύ κεν ἔνθ᾽ ὁ γέρων ἀπὸ θυμὸν ὄλεσσεν
Hector and now — there the old-man from life would-have-lost
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε βοὴν ἀγαθὸς Διομήδης·
if not then keenly noticed at-the-war-cry good Diomedes
σμερδαλέον δ᾽ ἐβόησεν ἐποτρύνων Ὀδυσῆα·
terribly and he-shouted urging-on Odysseus
"διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
πῇ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὥς ἐν ὁμίλῳ;
where are-you-fleeing behind back having-turned a-coward like in the-throng
μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.
lest anyone you fleeing the-back in a-spear fix
ἀλλὰ μέν᾽, ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα."
but stay so-that from-the-old-man we-may-thrust-away the-savage man
Ὣς ἔφατ᾽, οὐδ᾽ ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς,
So he-spoke nor heard much-enduring noble Odysseus
ἀλλὰ παρήϊξεν κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
but darted-past hollow to ships of-the-Achaeans
Τυδεΐδης δ᾽ αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη,
the-son-of-Tydeus and himself though being with-the-champions mingled
στῆ δὲ πρόσθ᾽ ἵππων Νηληϊάδαο γέροντος,
stood and before the-horses of-the-son-of-Neleus old
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed

"ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί,
O old-man truly very indeed you young wear-down fighters
σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει,
your and strength is-loosed harsh and you old-age attends
ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.
feeble and now your attendant slow and your horses
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι
but come my chariot mount so-that you-may-see
οἷοι Τρώϊοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
of-what-sort the-Trojan horses knowing of-the-plain
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι,
swiftly very here and there to-pursue and to-flee
οὕς ποτ' ἀπ' Αἰνείαν ἑλόμην, μήστωρε φόβοιο.
which once from Aeneas I-took devisers of-rout
τούτω μὲν θεράποντε κομείτων, τώδε δὲ νῶϊ
these-two indeed the-two-attendants let-them-tend these and we-two
Τρωσὶν ἐφ' ἱπποδάμοις ἰθύνομεν, ὄφρα καὶ Ἕκτωρ
the-Trojans against horse-taming let-us-drive so-that also Hector
εἴσεται εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν."
may-know if also my spear rages in the-palms
Ὣς ἔφατ', οὐδ' ἀπίθησε Γερήνιος ἱππότα Νέστωρ.
So he-spoke nor disobeyed Gerenian horseman Nestor
Νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντε κομείτην
Nestor's indeed then horses the-two-attendants tended
ἴφθιμοι, Σθένελός τε καὶ Εὐρυμέδων ἀγαπήνωρ.
mighty Sthenelus both and Eurymedon manly
τὼ δ' εἰς ἀμφοτέρω Διομήδεος ἅρματα βήτην·
the-two and into both of-Diomedes the-chariot went
Νέστωρ δ' ἐν χείρεσσι λάβ' ἡνία σιγαλόεντα,
Nestor and in hands took the-reins glossy

μάστιξεν δ' ἵππους· τάχα δ' Ἕκτορος ἄγχι γένοντο.
he-whipped and the-horses soon and of-Hector near they-came
τοῦ δ' ἰθὺς μεμαῶτος ἀκόντισε Τυδέος υἱός·
at-him and straight eager threw of-Tydeus the-son
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὁ δ' ἡνίοχον θεράποντα,
and him indeed then he-missed he and the-charioteer attendant
υἱὸν ὑπερθύμου Θηβαίου Ἠνιοπῆα,
son of-high-hearted Thebaeus Eniopeus
ἵππων ἡνί' ἔχοντα βάλε στῆθος παρὰ μαζόν.
of-the-horses the-reins holding struck on-the-chest beside the-breast
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
he-fell and from the-chariot swerved-back and his horses
ὠκύποδες· τοῦ δ' αὖθι λύθη ψυχή τε μένος τε.
swift-footed of-him and there were-loosed soul both might and
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο·
Hector and dread grief covered the-mind for-the-charioteer
τὸν μὲν ἔπειτ' εἴασε, καὶ ἀχνύμενός περ ἑταίρου,
him indeed then he-left even grieving though for-the-comrade
κεῖσθαι, ὁ δ' ἡνίοχον μέθεπε θρασύν· οὐδ' ἄρ' ἔτι δὴν
lie he and a-charioteer went-after bold nor then longer long
ἵππω δευέσθην σημάντορος· αἶψα γὰρ εὗρεν
the-two-horses lacked a-commander quickly for he-found
Ἰφιτίδην Ἀρχεπτόλεμον θρασύν, ὅν ῥα τόθ' ἵππων
the-son-of-Iphitus Archeptolemus bold whom then at-that-time the-horses
ὠκυπόδων ἐπέβησε, δίδου δέ οἱ ἡνία χερσίν.
swift-footed he-made-mount gave and to-him the-reins into-hands
Ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο,
Then — ruin would-have-been and irremediable deeds would-have-happened
καί νύ κε σήκασθεν κατὰ Ἴλιον ἠΰτε ἄρνες,
and now — they-would-have-been-penned in Ilium like lambs

εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
if not then keenly noticed the-father of-men both of-gods and
βροντήσας δ᾽ ἄρα δεινὸν ἀφῆκ᾽ ἀργῆτα κεραυνόν,
thundering and then terribly he-let-fly a-bright thunderbolt
κὰδ δὲ πρόσθ᾽ ἵππων Διομήδεος ἧκε χαμᾶζε·
down and before the-horses of-Diomedes he-sent(-it) to-the-ground
δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο,
dread and a-flame arose of-sulfur burning
τὼ δ᾽ ἵππω δείσαντε καταπτήτην ὑπ᾽ ὄχεσφι·
the-two and horses fearing cowered under the-chariot
Νέστορα δ᾽ ἐκ χειρῶν φύγον ἡνία σιγαλόεντα,
Nestor and from the-hands escaped the-reins glossy
δείσε δ᾽ ὅ γ᾽ ἐν θυμῷ, Διομήδεα δὲ προσέειπε·
he-feared and he indeed in heart Diomedes and addressed
“Τυδείδη, ἄγε δὴ αὖτε φόβονδ᾽ ἔχε μώνυχας ἵππους.
son-of-Tydeus come now in-turn toward-flight hold the-single-hoofed horses
ἦ οὐ γιγνώσκεις ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ᾽ ἀλκή;
truly not do-you-know that for-you from Zeus not follows might
νῦν μὲν γὰρ τούτῳ Κρονίδης Ζεὺς κῦδος ὀπάζει
now indeed for to-this-one the-son-of-Cronus Zeus glory grants
σήμερον· ὕστερον αὖτε καὶ ἡμῖν, αἴ κ᾽ ἐθέλῃσι,
today later in-turn also to-us if — he-wishes
δώσει· ἀνὴρ δέ κεν οὔ τι Διὸς νόον εἰρύσσαιτο
he-will-give(-it) a-man and — not at-all of-Zeus the-mind could-ward-off
οὐδὲ μάλ᾽ ἴφθιμος, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι.”
not-even very mighty since truly much stronger he-is
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸς Διομήδης·
Him and answered then at-the-war-cry good Diomedes
“ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες·
yes indeed these-things indeed all old-man according-to due you-spoke

ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
but this dread grief heart and spirit reaches
Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ' ἀγορεύων·
Hector for some-day will-say among the-Trojans speaking
'Τυδεΐδης ὑπ' ἐμεῖο φοβεύμενος ἵκετο νῆας.'
the-son-of-Tydeus by me routed came-to the-ships
ὥς ποτ' ἀπειλήσει· τότε μοι χάνοι εὐρεῖα χθών."
so some-day he-will-threaten then for-me may-gape broad earth
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
"ὤ μοι, Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔειπες.
ah me of-Tydeus son wise what you-spoke
εἴ περ γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει,
if indeed for you Hector indeed a-coward and strengthless shall-call
ἀλλ' οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες
but not will-believe(-him) the-Trojans and Dardanians
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων,
and of-the-Trojans the-wives great-hearted shield-bearers
τάων ἐν κονίῃσι βάλες θαλεροὺς παρακοίτας."
whose in the-dust you-threw blooming husbands

Nestor turns the horses to flight, and Hector taunts Diomedes as no better than a woman. Diomedes thinks three times of turning, and each time Zeus thunders from Ida. Hector tells the Trojans that Zeus has given him victory and urges his horses to take Nestor's golden shield and Diomedes' corselet. Hera urges Poseidon to help, but he refuses to fight Zeus. The Achaeans are penned between the ditch and the ships, and Agamemnon rouses them from Odysseus' ship and prays to Zeus to let them at least escape.

Ὣς ἄρα φωνήσας φύγαδε τράπε μώνυχας ἵππους
So then having-spoken to-flight he-turned the-single-hoofed horses
αὖτις ἀν' ἰωχμόν· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
back through the-rout on and the-Trojans both and Hector
ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο.
with-a-din marvelous missiles grievous poured
τῷ δ' ἐπὶ μακρὸν ἄϋσε μέγας κορυθαίολος Ἕκτωρ· 160
him and over loudly shouted great helmet-flashing Hector
"Τυδεΐδη, περὶ μέν σε τίον Δαναοὶ ταχύπωλοι
son-of-Tydeus above indeed you honored the-Danaans of-swift-horses
ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσι·
with-a-seat both with-meats — and with-fuller cups
νῦν δέ σ' ἀτιμήσουσι· γυναικὸς ἄρ' ἀντὶ τέτυξο.
now and you will-dishonor a-woman then instead-of you-have-become
ἔρρε, κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο
away-with-you evil puppet since not having-yielded I
πύργων ἡμετέρων ἐπιβήσεαι, οὐδὲ γυναῖκας 165
our towers will-you-mount nor the-women
ἄξεις ἐν νήεσσι· πάρος τοι δαίμονα δώσω."
will-you-lead in ships before to-you doom I-will-give

Ὣς φάτο, Τυδεΐδης δὲ διάνδιχα μερμήριξεν,
So he-spoke the-son-of-Tydeus and in-two-ways pondered
ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι.
the-horses both to-turn and face-to-face to-fight
τρὶς μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν,
thrice indeed he-pondered in mind and in heart
τρὶς δ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων κτύπε μητίετα Ζεὺς
thrice and then from the-Idaean mountains thundered counselor Zeus
σῆμα τιθεὶς Τρώεσσι, μάχης ἑτεραλκέα νίκην.
a-sign setting for-the-Trojans of-the-battle the-turning victory
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Hector and to-the-Trojans called loudly shouting
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
Trojans and Lycians and Dardanians close-fighters
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
men be friends be-mindful and of-furious courage
γιγνώσκω δ' ὅτι μοι πρόφρων κατένευσε Κρονίων
I-know and that to-me readily nodded the-son-of-Cronus
νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα·
victory and great glory but to-the-Danaans indeed bane
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο
fools who then indeed these walls devised
ἀβλήχρ' οὐδενόσωρα· τὰ δ' οὐ μένος ἀμὸν ἐρύξει·
feeble worthless they and not the-might my will-hold-back
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.
the-horses and easily the-ditch will-leap-over dug
ἀλλ' ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῇσι γένωμαι,
but when — indeed the-ships at hollow I-come
μνημοσύνη τις ἔπειτα πυρὸς δηΐοιο γενέσθω,
remembrance some then of-fire consuming let-there-be

ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτοὺς
so-that with-fire the-ships I-may-burn I-may-kill and also themselves
Ἀργείους παρὰ νηυσὶν ἀτυζομένους ὑπὸ καπνοῦ."
the-Argives beside the-ships bewildered by the-smoke
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·
So having-spoken to-the-horses he-called spoke and
"Ξάνθε τε καὶ σύ, Πόδαργε, καὶ Αἴθων Λάμπε τε δῖε,
Xanthus both and you Podargus and Aethon Lampus and noble
νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλὴν
now to-me the tending repay which very much
Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος
Andromache daughter of-great-hearted Eetion
ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν
to-you beside first honey-sweet wheat placed
οἴνόν τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,
wine and mixing to-drink when the-heart bade
ἢ ἐμοί, ὅς πέρ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι.
than to-me who indeed her blooming husband claim to-be
ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον, ὄφρα λάβωμεν
but follow and hasten so-that we-may-take
ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει
the-shield Nestor's of-which now the-fame heaven reaches
πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν,
all golden to-be the-rods both and itself
αὐτὰρ ἀπ' ὤμοιιν Διομήδεος ἱπποδάμοιο
but from the-shoulders of-Diomedes horse-taming
δαιδάλεον θώρηκα, τὸν Ἥφαιστος κάμε τεύχων.
the-elaborate corselet which Hephaestus labored making

εἰ τούτω κε λάβοιμεν, ἐελποίμην κεν Ἀχαιοὺς
if these-two — we-should-take I-would-hope — the-Achaeans
αὐτονυχὶ νηῶν ἐπιβησέμεν ὠκειάων."
this-very-night the-ships to-make-embark swift

Ὣς ἔφατ' εὐχόμενος, νεμέσησε δὲ πότνια Ἥρη,
So he-spoke boasting was-indignant and queenly Hera
σείσατο δ' εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον,
she-shook and in throne shook and high Olympus
καί ῥα Ποσειδάωνα μέγαν θεὸν ἀντίον ηὔδα·
and then Poseidon great god face-to-face spoke
"ὦ πόποι, ἐννοσίγαι' εὐρυσθενές, οὐδέ νυ σοί περ
oh for-shame earth-shaker wide-mighty not-even now your indeed
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεσὶ θυμός.
perishing Danaans laments in mind the-heart
οἵ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι
they and to-you to Helice both and Aegae gifts bring
πολλά τε καὶ χαρίεντα· σὺ δέ σφισι βούλεο νίκην.
many both and graceful you and for-them wish victory
εἴ περ γάρ κ' ἐθέλοιμεν, ὅσοι Δαναοῖσιν ἀρωγοί,
if indeed for — we-should-wish as-many-as for-the-Danaans helpers
Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν,
the-Trojans to-thrust-back and to-restrain far-seeing Zeus
αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο καθήμενος οἷος ἐν Ἴδῃ."
there — then he-would-grieve sitting alone on Ida

Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κρείων ἐνοσίχθων·
Her and greatly vexed addressed lord earth-shaker
"Ἥρη ἀπτοεπές, ποῖον τὸν μῦθον ἔειπες.
Hera reckless-of-speech what — word you-spoke

οὐκ ἂν ἔγωγ' ἐθέλοιμι Διὶ Κρονίωνι μάχεσθαι
not — I-indeed would-wish with-Zeus son-of-Cronus to-fight
ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν."
us the others since truly much stronger he-is
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
So they indeed such-things to each-other spoke
τῶν δ', ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργε,
of-them and as-much-as from the-ships from the-tower the-ditch enclosed
πλῆθεν ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων
was-filled alike with-horses both and men shield-bearers
εἰλομένων· εἶλει δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
being-penned penned and to-swift equal Ares
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκε.
Hector son-of-Priam when to-him Zeus glory gave
καί νύ κ' ἐνέπρησεν πυρὶ κηλέῳ νῆας ἐΐσας,
and now — he-would-have-burned with-fire blazing the-ships balanced
εἰ μὴ ἐπὶ φρεσὶ θῆκ' Ἀγαμέμνονι πότνια Ἥρη
if not in mind put to-Agamemnon queenly Hera
αὐτῷ ποιπνύσαντι θοῶς ὀτρῦναι Ἀχαιούς.
himself bestirring quickly to-urge the-Achaeans
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
went and to-go beside both the-huts and ships of-the-Achaeans
πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ,
purple great cloak holding in hand stout
στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ,
he-stood and on of-Odysseus huge-hulled ship black
ἥ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε,
which then in the-middle was to-shout to-both-sides
ἠμὲν ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο
both to of-Ajax the-huts of-the-son-of-Telamon

ἠδ᾽ ἐπ᾽ Ἀχιλλῆος, τοί ῥ᾽ ἔσχατα νῆας ἐΐσας
and to of-Achilles who then at-the-ends the-ships balanced
εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν·
drew-up in-manliness trusting and in-the-might of-hands
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
he-shouted and piercingly to-the-Danaans calling-out
"αἰδώς, Ἀργεῖοι, κάκ᾽ ἐλέγχεα, εἶδος ἀγητοί·
shame Argives evil disgraces in-form admirable
πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριστοι,
where have-gone the-boasts when indeed we-said to-be best
ἃς ὁπότ᾽ ἐν Λήμνῳ κενεαυχέες ἠγοράασθε,
which when in Lemnos vainly-boasting you-held-forth
ἔσθοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων,
eating meats many of-oxen straight-horned
πίνοντες κρητῆρας ἐπιστεφέας οἴνοιο,
drinking bowls brimming of-wine
Τρώων ἄνθ᾽ ἑκατόν τε διηκοσίων τε ἕκαστος
of-Trojans against a-hundred both two-hundred and each
στήσεσθ᾽ ἐν πολέμῳ· νῦν δ᾽ οὐδ᾽ ἑνὸς ἄξιοί εἰμεν
would-stand in war now and not-even one worthy are-we
Ἕκτορος, ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ.
of-Hector who soon the-ships will-burn with-fire blazing
Ζεῦ πάτερ, ἦ ῥά τιν᾽ ἤδη ὑπερμενέων βασιλήων
Zeus father truly then any already of-over-mighty kings
τῇδ᾽ ἄτῃ ἄασας καί μιν μέγα κῦδος ἀπηύρας;
with-this folly did-you-blind and him great glory took-from
οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν
not indeed truly ever I-say your very-fair altar
νηΐ᾽ πολυκληΐδι παρελθέμεν ἐνθάδε ἔρρων,
in-ship many-benched to-have-passed-by hither going-to-my-ruin

ἀλλ᾽ ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί᾽ ἔκηα,
but on all of-oxen fat and thighs I-burned
ἱέμενος Τροίην εὐτείχεον ἐξαλαπάξαι.
eager Troy well-walled to-sack
ἀλλά, Ζεῦ, τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ·
but Zeus this indeed for-me fulfill wish
αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι,
themselves indeed at-least let escape and get-away
μηδ᾽ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς."
nor so by-the-Trojans let be-subdued the-Achaeans

VIII.4 · TEUCER THE ARCHER

Zeus pities Agamemnon and sends an eagle with a fawn, and the Achaeans charge again. Diomedes kills Agelaus first. Teucer shoots from behind Ajax's shield like a child behind its mother, killing eight men, and Agamemnon promises him a prize. Two arrows aimed at Hector kill Gorgythion, whose head droops like a poppy, and the charioteer Archeptolemus. Hector leaps down with a stone, breaks Teucer's bowstring, and numbs his hand. Ajax covers his brother while two comrades carry him to the ships.

Ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα,
So he-spoke him and the-father pitied tears shedding
νεῦσε δέ οἱ λαὸν σόον ἔμμεναι οὐδ᾽ ἀπολέσθαι.
nodded and to-him the-people safe to-be nor to-perish
αὐτίκα δ᾽ αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
at-once and an-eagle he-sent most-sure-in-omen of-winged-birds
νεβρὸν ἔχοντ᾽ ὀνύχεσσι, τέκος ἐλάφοιο ταχείης·
a-fawn holding in-talons the-young of-a-deer swift
πὰρ δὲ Διὸς βωμῷ περικαλλέϊ κάββαλε νεβρόν,
beside and of-Zeus the-altar very-fair it-dropped the-fawn

ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί.
where to-the-all-oracular Zeus used-to-sacrifice the-Achaeans
οἱ δ' ὡς οὖν εἴδονθ' ὅ τ' ἄρ' ἐκ Διὸς ἤλυθεν ὄρνις,
they and when then saw that — then from Zeus had-come the-bird
μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
more at the-Trojans they-leapt remembered and the-fight
Ἔνθ' οὔ τις πρότερος Δαναῶν, πολλῶν περ ἐόντων,
Then not anyone before of-the-Danaans many though being
εὔξατο Τυδεΐδαο πάρος σχέμεν ὠκέας ἵππους
boasted than-the-son-of-Tydeus earlier to-have-held the-swift horses
τάφρου τ' ἐξελάσαι καὶ ἐναντίβιον μαχέσασθαι,
from-the-ditch and to-have-driven-out and face-to-face to-have-fought
ἀλλὰ πολὺ πρῶτος Τρώων ἕλεν ἄνδρα κορυστήν,
but by-far first of-the-Trojans he-took a-man helmeted
Φραδμονίδην Ἀγέλαον· ὁ μὲν φύγαδ' ἔτραπεν ἵππους·
son-of-Phradmon Agelaus he indeed in-flight turned the-horses
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
him and having-turned the-back in a-spear he-fixed
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν·
the-shoulders between through and the-chest he-drove(-it)
ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
he-fell and from the-chariot rattled and the-arms upon him
Τὸν δὲ μετ' Ἀτρεΐδαι, Ἀγαμέμνων καὶ Μενέλαος,
Him and after the-sons-of-Atreus Agamemnon and Menelaus
τοῖσι δ' ἐπ' Αἴαντες θοῦριν ἐπιειμένοι ἀλκήν,
them and after the-Ajaxes furious clothed-in strength
τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
them and after Idomeneus and the-companion of-Idomeneus
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ,
Meriones equal to-Enyalius man-slaying

τοῖσι δ' ἐπ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός·
them and after Eurypylus of-Euaemon glorious son
Τεῦκρος δ' εἶνατος ἦλθε, παλίντονα τόξα τιταίνων,
Teucer and ninth came back-bent bow stretching
στῆ δ' ἄρ' ὑπ' Αἴαντος σάκεϊ Τελαμωνιάδαο.
he-stood and then under of-Ajax the-shield of-the-son-of-Telamon
ἔνθ' Αἴας μὲν ὑπεξέφερεν σάκος· αὐτὰρ ὅ γ' ἥρως
there Ajax indeed would-lift-aside the-shield but he indeed the-hero
παπτήνας, ἐπεὶ ἄρ τιν' ὀϊστεύσας ἐν ὁμίλῳ
peering-about when then someone shooting in the-throng
βεβλήκοι, ὁ μὲν αὖθι πεσὼν ἀπὸ θυμὸν ὄλεσσεν,
he-had-struck he indeed there falling away life lost
αὐτὰρ ὁ αὖτις ἰὼν πάϊς ὣς ὑπὸ μητέρα δύσκεν
but he again going a-child like under a-mother would-slip
εἰς Αἴανθ'· ὁ δέ μιν σάκεϊ κρύπτασκε φαεινῷ.
to Ajax he and him with-the-shield would-hide shining
Ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκρος ἀμύμων;
Then whom first of-the-Trojans took Teucer blameless
Ὀρσίλοχον μὲν πρῶτα καὶ Ὄρμενον ἠδ' Ὀφελέστην
Orsilochus indeed first and Ormenus and Ophelestes
Δαίτορά τε Χρομίον τε καὶ ἀντίθεον Λυκοφόντην
Daetor both Chromius both and godlike Lycophontes
καὶ Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον.
and son-of-Polyaemon Amopaon and Melanippus
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
all one-after-another he-brought-near to-earth much-nourishing
τὸν δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
him and seeing rejoiced lord of-men Agamemnon
τόξου ἄπο κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγας·
the-bow from mighty of-the-Trojans destroying the-ranks

στῆ δὲ παρ' αὐτὸν ἰὼν καί μιν πρὸς μῦθον ἔειπε·
he-stood and beside him going and him to word spoke
"Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
Teucer dear head Telamonian lord of-the-people
βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι
shoot so if — any light to-the-Danaans you-may-become
πατρί τε σῷ Τελαμῶνι, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα,
for-father and your Telamon who you reared small being
καί σε νόθον περ ἐόντα κομίσσατο ᾧ ἐνὶ οἴκῳ·
and you bastard though being cared-for his-own in house
τὸν καὶ τηλόθ' ἐόντα ἐϋκλείης ἐπίβησον.
him even far-off being to-good-fame raise
σοὶ δ' ἐγὼ ἐξερέω ὡς καὶ τετελεσμένον ἔσται·
to-you and I will-declare as also accomplished will-be
αἴ κέν μοι δώῃ Ζεύς τ' αἰγίοχος καὶ Ἀθήνη
if — to-me grants Zeus both aegis-bearing and Athena
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον,
of-Ilium to-sack well-built citadel
πρώτῳ τοι μετ' ἐμὲ πρεσβήϊον ἐν χερὶ θήσω,
first to-you after me a-prize-of-honor in hand I-will-place
ἢ τρίποδ' ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν
either a-tripod or two horses with-the-very chariot
ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι."
or a-woman who — for-you the-same bed may-mount
Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε Τεῦκρος ἀμύμων·
Him and answering addressed Teucer blameless
"Ἀτρεΐδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν
son-of-Atreus most-glorious why me hastening even myself
ὀτρύνεις; οὐ μέν τοι ὅση δύναμίς γε πάρεστι
do-you-urge not indeed you-know as-much-as strength indeed is-in(-me)

παύομαι, ἀλλ᾽ ἐξ οὗ προτὶ Ἴλιον ὠσάμεθ᾽ αὐτούς,
I-cease but from when to Ilium we-drove them
ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω.
from then indeed with-bows awaiting(-them) men I-slay
ὀκτὼ δὴ προέηκα ταναγλώχινας ὀϊστούς,
eight indeed I-have-sent-forth long-barbed arrows
πάντες δ᾽ ἐν χροΐ πῆχθεν ἀρηϊθόων αἰζηῶν·
all and in flesh were-fixed of-war-swift young-men
τοῦτον δ᾽ οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.᾽᾽
this-one and not I-am-able to-hit dog raging
Ἦ ῥα, καὶ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλεν
He-spoke then and another arrow from the-string he-shot
Ἕκτορος ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμός·
Hector straight-at to-hit and him longed the-heart
καὶ τοῦ μέν ῥ᾽ ἀφάμαρθ᾽, ὁ δ᾽ ἀμύμονα Γοργυθίωνα
and him indeed then he-missed he and blameless Gorgythion
υἱὸν ἐΰν Πριάμοιο κατὰ στῆθος βάλεν ἰῷ,
son noble of-Priam on the-chest struck with-arrow
τόν ῥ᾽ ἐξ Αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ
whom then from Aesyme wedded bore mother
καλὴ Καστιάνειρα δέμας ἐϊκυῖα θεῇσι.
fair Castianeira in-build like to-goddesses
μήκων δ᾽ ὡς ἑτέρωσε κάρη βάλεν, ἥ τ᾽ ἐνὶ κήπῳ,
a-poppy and like to-one-side the-head drooped which — in a-garden
καρπῷ βριθομένη νοτίῃσί τε εἰαρινῇσιν,
with-fruit weighed-down with-showers and of-spring
ὣς ἑτέρωσ᾽ ἤμυσε κάρη πήληκι βαρυνθέν.
so to-one-side bowed the-head by-the-helmet weighed-down

Τεῦκρος δ' ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλεν
Teucer and another arrow from the-string he-shot
Ἕκτορος ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμός.
Hector straight-at to-hit and him longed the-heart
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε· παρέσφηλεν γὰρ Ἀπόλλων·
but he indeed even then missed turned-aside(-it) for Apollo
ἀλλ' Ἀρχεπτόλεμον, θρασὺν Ἕκτορος ἡνιοχῆα,
but Archeptolemus bold of-Hector charioteer
ἰέμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν·
rushing to-war he-struck on-the-chest beside the-breast
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
he-fell and from the-chariot swerved-back and his horses
ὠκύποδες· τοῦ δ' αὖθι λύθη ψυχή τε μένος τε.
swift-footed of-him and there were-loosed soul both might and
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο·
Hector and dread grief covered the-mind for-the-charioteer
τὸν μὲν ἔπειτ' εἴασε καὶ ἀχνύμενός περ ἑταίρου,
him indeed then he-left even grieving though for-the-comrade
Κεβριόνην δ' ἐκέλευσεν ἀδελφεὸν ἐγγὺς ἐόντα
Cebriones and he-bade his-brother near being
ἵππων ἡνί' ἑλεῖν· ὁ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας.
of-the-horses the-reins to-take he and then not disobeyed hearing
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος
himself and from the-chariot to-the-ground leapt all-shining
σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρί,
terribly shouting he and a-stone took in-hand
βῆ δ' ἰθὺς Τεύκρου, βαλέειν δέ ἑ θυμὸς ἀνώγει.
he-went and straight at-Teucer to-hit and him the-heart bade
ἤτοι ὁ μὲν φαρέτρης ἐξείλετο πικρὸν ὀϊστόν,
truly he indeed from-the-quiver took-out a-bitter arrow

θῆκε δ' ἐπὶ νευρῇ· τὸν δ' αὖ κορυθαίολος Ἕκτωρ
put and on the-string him and in-turn helmet-flashing Hector
αὐερύοντα παρ' ὦμον, ὅθι κληῖς ἀποέργει
drawing-back beside the-shoulder where the-collar-bone separates
αὐχένα τε στῆθός τε, μάλιστα δὲ καίριόν ἐστι,
the-neck both chest and most and deadly it-is
τῇ ῥ' ἐπὶ οἱ μεμαῶτα βάλεν λίθῳ ὀκριόεντι,
there then at him eager he-struck with-a-stone jagged
ῥῆξε δέ οἱ νευρήν· νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ,
broke and his the-string grew-numb and the-hand at the-wrist
στῆ δὲ γνὺξ ἐριπών, τόξον δέ οἱ ἔκπεσε χειρός.
he-stood and on-his-knee falling the-bow and from-him fell from-the-hand
Αἴας δ' οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος,
Ajax and not neglected his-brother fallen
ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψε.
but running bestrode(-him) and over-him the-shield covered
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
him indeed then stooping-under two trusty comrades
Μηκιστεὺς Ἐχίοιο πάϊς καὶ δῖος Ἀλάστωρ,
Mecisteus of-Echius son and noble Alastor
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα.
the-ships to hollow carried heavily groaning

Zeus rouses the Trojans again, and they drive the Achaeans back to the ditch. Hector pursues like a hound, killing the hindmost. Hera pities the Danaans, and Athena complains that her father has forgotten how she helped Heracles through Eurystheus' labors, and now grants Thetis' plea. They arm again and drive out through the gates of heaven. Zeus sees them from Ida and sends Iris to turn them back, threatening to lame their horses and break their chariot with his thunderbolt.

Ἄψ δ' αὖτις Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσεν·
Back and again to-the-Trojans the-Olympian in might roused
οἱ δ' ἰθὺς τάφροιο βαθείης ὦσαν Ἀχαιούς·
they and straight to-the-ditch deep thrust the-Achaeans
Ἕκτωρ δ' ἐν πρώτοισι κίε σθένεϊ βλεμεαίνων.
Hector and among the-foremost went in-strength exulting
ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου ἠὲ λέοντος
as and when someone — a-dog of-a-boar wild or of-a-lion
ἅπτηται κατόπισθε, ποσὶν ταχέεσσι διώκων,
fastens-on from-behind with-feet swift pursuing
ἰσχία τε γλουτούς τε, ἑλισσόμενόν τε δοκεύει,
flanks both buttocks and wheeling and watches
ὣς Ἕκτωρ ὤπαζε κάρη κομόωντας Ἀχαιούς,
so Hector pressed on-head long-haired Achaeans
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἱ δὲ φέβοντο.
always killing the hindmost they and fled
αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
but when through both the-stakes and ditch they-went
φεύγοντες, πολλοὶ δὲ δάμεν Τρώων ὑπὸ χερσίν,
fleeing many and were-subdued of-the-Trojans under the-hands
οἱ μὲν δὴ παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
they indeed truly beside the-ships were-held-back staying

ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
to-each-other both calling and to-all the-gods
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος·
hands raising loudly prayed each
Ἕκτωρ δ' ἀμφιπεριστρώφα καλλίτριχας ἵππους,
Hector and wheeled-around fair-maned horses
Γοργοῦς ὄμματ' ἔχων ἠδὲ βροτολοιγοῦ Ἄρηος.
of-the-Gorgon eyes having and of-man-destroying Ares
Τοὺς δὲ ἰδοῦσ' ἐλέησε θεὰ λευκώλενος Ἥρη,
Them and seeing pitied the-goddess white-armed Hera
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
quickly and Athena words winged addressed
"ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτι νῶϊ
oh for-shame of-aegis-bearing Zeus child no-longer we-two
ὀλλυμένων Δαναῶν κεκαδησόμεθ' ὑστάτιόν περ;
perishing Danaans shall-we-care-for for-the-last-time indeed
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται
who — indeed evil fate fulfilling perish
ἀνδρὸς ἑνὸς ῥιπῇ, ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς
of-a-man one by-the-onset he and rages no-longer bearably
Ἕκτωρ Πριαμίδης, καὶ δὴ κακὰ πολλὰ ἔοργε."
Hector son-of-Priam and indeed evils many has-done
Τὴν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Her and in-turn addressed the-goddess flashing-eyed Athena
"καὶ λίην οὗτός γε μένος θυμόν τ' ὀλέσειε,
and exceedingly this-one indeed might spirit and may-lose
χερσὶν ὑπ' Ἀργείων φθίμενος ἐν πατρίδι γαίῃ·
hands beneath of-the-Argives perishing in native land
ἀλλὰ πατὴρ οὐμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῇσι,
but the-father my in-mind rages not good

σχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς·
cruel always sinful of-my efforts thwarter
οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκις υἱὸν
nor at-all of-these remembers that his very often son
τειρόμενον σώεσκον ὑπ᾽ Εὐρυσθῆος ἀέθλων.
worn-down I-used-to-save by of-Eurystheus labors
ἤτοι ὁ μὲν κλαίεσκε πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺς
truly he indeed wept toward heaven but me Zeus
τῷ ἐπαλεξήσουσαν ἀπ᾽ οὐρανόθεν προΐαλλεν.
for-him to-help from heaven sent-forth
εἰ γὰρ ἐγὼ τάδε ᾔδε᾽ ἐνὶ φρεσὶ πευκαλίμῃσιν,
if for I these-things had-known in mind shrewd
εὖτέ μιν εἰς Ἀΐδαο πυλάρταο προὔπεμψεν
when him to of-Hades of-the-gate-keeper he-sent
ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο,
from Erebus to-bring the-dog of-hateful Hades
οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.
not — he-would-have-escaped of-Styx of-the-water the-sheer streams
νῦν δ᾽ ἐμὲ μὲν στυγέει, Θέτιδος δ᾽ ἐξήνυσε βουλάς,
now and me indeed he-hates of-Thetis and has-accomplished the-counsels
ἥ οἱ γούνατ᾽ ἔκυσσε καὶ ἔλλαβε χειρὶ γενείου,
who his knees kissed and took with-hand the-chin
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
beseeching to-honor Achilles sacker-of-cities
ἔσται μὰν ὅτ᾽ ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ.
there-will-be indeed when — again dear flashing-eyed he-calls(-me)
ἀλλὰ σὺ μὲν νῦν νῶϊν ἐπέντνε μώνυχας ἵππους,
but you indeed now for-us-two harness single-hoofed horses

ὄφρ᾽ ἂν ἐγὼ καταδῦσα Διὸς δόμον αἰγιόχοιο
while — I entering of-Zeus the-house aegis-bearing
τεύχεσιν ἐς πόλεμον θωρήξομαι, ὄφρα ἴδωμαι
in-arms for war arm-myself so-that I-may-see
ἢ νῶϊ Πριάμοιο πάϊς κορυθαίολος Ἕκτωρ
whether us-two of-Priam the-son helmet-flashing Hector
γηθήσει προφανέντε ἀνὰ πτολέμοιο γεφύρας,
will-rejoice appearing along of-war the-bridges
ἦ τις καὶ Τρώων κορέει κύνας ἠδ᾽ οἰωνοὺς
or some also of-the-Trojans will-glut dogs and birds
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.᾽᾽
with-fat and flesh fallen at the-ships of-the-Achaeans
Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεὰ λευκώλενος Ἥρη.
So she-spoke nor disobeyed the-goddess white-armed Hera
ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
she indeed going-about the-golden-frontleted harnessed horses
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
Hera eldest goddess daughter of-great Cronus
αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο
but Athena daughter of-Zeus aegis-bearing
πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ᾽ οὖδει
the-robe indeed let-fall soft of-her-father on the-floor
ποικίλον, ὅν ῥ᾽ αὐτὴ ποιήσατο καὶ κάμε χερσίν,
embroidered which then herself had-made and wrought with-hands
ἡ δὲ χιτῶν᾽ ἐνδῦσα Διὸς νεφεληγερέταο
she and the-tunic putting-on of-Zeus cloud-gatherer
τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
in-arms for war armed-herself tearful

ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο, λάζετο δ' ἔγχος
into and the-car flaming with-feet she-stepped took and the-spear
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
heavy great sturdy with-which she-subdues the-ranks of-men
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
of-heroes with-whom — she-is-angered she-of-the-mighty-father
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους·
Hera and with-the-whip swiftly touched then the-horses
αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἂς ἔχον Ὧραι,
of-themselves and the-gates groaned of-heaven which held the-Hours
τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,
to-whom is-entrusted great heaven Olympus and
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.
both to-open the-thick cloud and to-shut
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
there then through them goad-urged they-drove the-horses
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ ἴδε χώσατ' ἄρ' αἰνῶς,
Zeus and father from-Ida when he-saw was-angered then terribly
Ἶριν δ' ὦτρυνε χρυσόπτερον ἀγγελέουσαν·
Iris and he-urged golden-winged to-carry-a-message
"βάσκ' ἴθι, Ἶρι ταχεῖα, πάλιν τρέπε μηδ' ἔα ἄντην
up go Iris swift back turn(-them) nor let(-them) face-to-face
ἔρχεσθ'· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόνδε.
come not for well we-shall-come-together to-war
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
thus for I-will-declare this and also accomplished will-be
γυιώσω μέν σφωϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
I-will-lame indeed of-the-two under the-chariot the-swift horses
αὐτὰς δ' ἐκ δίφρου βαλέω κατά θ' ἅρματα ἄξω·
themselves and from the-car I-will-cast down and the-chariot will-break

οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
nor — to the-tenth rolling-round years
ἕλκε᾽ ἀπαλθήσεσθον, ἅ κεν μάρπτῃσι κεραυνός·
the-wounds will-they-heal which — strikes the-thunderbolt
ὄφρα ἰδῇ γλαυκῶπις ὅτ᾽ ἂν ᾧ πατρὶ μάχηται.
so-that she-may-know flashing-eyed when — with-her-own father she-fights
Ἥρῃ δ᾽ οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
with-Hera and not at-all so-much I-am-indignant nor am-I-angry
αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττι κεν εἴπω."
always for to-me she-is-wont to-thwart whatever — I-say

VIII.6 · THE GODDESSES TURNED BACK

Iris gives them Zeus' message and calls Athena a shameless dog if she dares raise her spear against him. Hera will no longer fight Zeus for mortals' sake, and they return to Olympus. Zeus drives back from Ida and mocks them for being too frightened to fight. Hera repeats Athena's plea to advise the Argives. Zeus tells her that tomorrow she will see worse, for Hector will not stop until Achilles rises beside the ships in the fight over Patroclus' body, and that he cares nothing for her anger.

Ὣς ἔφατ᾽, ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα,
So he-spoke rose and Iris storm-footed to-carry-the-message
βῆ δ᾽ ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
went and from the-Idaean mountains to high Olympus
πρώτῃσιν δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο
at-the-first and gates of-many-folded Olympus
ἀντομένη κατέρυκε, Διὸς δέ σφ᾽ ἔννεπε μῦθον·
meeting(-them) she-held(-them)-back of-Zeus and to-them she-told the-word
"πῇ μέματον; τί σφῶϊν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
where are-you-two-eager why of-you-two in mind rages the-heart

οὐκ ἐάᾳ Κρονίδης ἐπαμυνέμεν Ἀργείοισιν.
not allows the-son-of-Cronus to-help the-Argives
ὣδε γὰρ ἠπείλησε Κρόνου πάϊς, ᾗ τελέει περ,
thus for threatened of-Cronus the-son as he-will-accomplish indeed
γυιώσειν μὲν σφῶϊν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους,
to-lame indeed of-you-two under the-chariot the-swift horses
αὐτὰς δ᾽ ἐκ δίφρου βαλέειν κατά θ᾽ ἅρματα ἄξειν·
themselves and from the-car to-cast down and the-chariot to-break
οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς
nor — to the-tenth rolling-round years
ἕλκε᾽ ἀπαλθήσεσθον, ἅ κεν μάρπτῃσι κεραυνός·
the-wounds will-you-two-heal which — strikes the-thunderbolt
ὄφρα ἰδῇς, γλαυκῶπι, ὅτ᾽ ἂν σῷ πατρὶ μάχηαι.
so-that you-may-know flashing-eyed when — with-your father you-fight
Ἥρῃ δ᾽ οὔ τι τόσον νεμεσίζεται οὐδὲ χολοῦται·
with-Hera and not at-all so-much he-is-indignant nor is-he-angry
αἰεὶ γάρ οἱ ἔωθεν ἐνικλᾶν ὅττι κεν εἴπῃ·
always for to-him she-is-wont to-thwart whatever — he-says
ἀλλὰ σύ γ᾽ αἰνοτάτη, κύον ἀδεές, εἰ ἐτεόν γε
but you indeed most-dread dog shameless if truly indeed
τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀείραι.᾽᾽
you-will-dare Zeus against huge spear to-raise
Ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ἶρις,
She indeed then so having-spoken departed in-feet swift Iris
αὐτὰρ Ἀθηναίην Ἥρη πρὸς μῦθον ἔειπεν·
but Athena Hera to word spoke
“ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτ᾽ ἔγωγε
oh for-shame of-aegis-bearing Zeus child no-longer I-indeed
νῶϊ ἐῶ Διὸς ἄντα βροτῶν ἕνεκα πτολεμίζειν·
us-two allow Zeus against of-mortals for-the-sake to-war

τῶν ἄλλος μὲν ἀποφθίσθω, ἄλλος δὲ βιώτω,
of-them one indeed let-him-perish another and let-him-live
ὅς κε τύχῃ· κεῖνος δὲ τὰ ἃ φρονέων ἐνὶ θυμῷ
whoever — happens that-one and the(-things) his-own intending in heart
Τρωσί τε καὶ Δαναοῖσι δικαζέτω, ὡς ἐπιεικές."
for-the-Trojans both and the-Danaans let-him-judge as fitting
Ὣς ἄρα φωνήσασα πάλιν τρέπε μώνυχας ἵππους·
So then having-spoken back she-turned the-single-hoofed horses
τῇσιν δ' Ὧραι μὲν λῦσαν καλλίτριχας ἵππους,
for-them and the-Hours indeed loosed the-fair-maned horses
καὶ τοὺς μὲν κατέδησαν ἐπ' ἀμβροσίῃσι κάπῃσιν,
and them indeed tied at ambrosial mangers
ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα·
the-chariots and they-leaned against the-walls all-shining
αὐταὶ δὲ χρυσέοισιν ἐπὶ κλισμοῖσι κάθιζον
themselves and golden on chairs sat
μίγδ' ἄλλοισι θεοῖσι, φίλον τετιημέναι ἦτορ.
mixed with-the-other gods dear grieved heart
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐΰτροχον ἅρμα καὶ ἵππους
Zeus and father from-Ida well-wheeled chariot and horses
Οὔλυμπόνδε δίωκε, θεῶν δ' ἐξίκετο θώκους.
to-Olympus drove of-the-gods and reached the-seats
τῷ δὲ καὶ ἵππους μὲν λῦσε κλυτὸς ἐννοσίγαιος,
for-him and also the-horses indeed loosed the-famed earth-shaker
ἅρματα δ' ἂμ βωμοῖσι τίθει, κατὰ λῖτα πετάσσας·
the-chariot and on the-stand put over a-linen-cloth spreading
αὐτὸς δὲ χρύσειον ἐπὶ θρόνον εὐρύοπα Ζεὺς
himself and golden on throne far-seeing Zeus
ἕζετο, τῷ δ' ὑπὸ ποσσὶ μέγας πελεμίζετ' Ὄλυμπος.
sat his and under feet great was-shaken Olympus

αἱ δ' οἷαι Διὸς ἀμφὶς Ἀθηναίη τε καὶ Ἥρη
they and alone from-Zeus apart Athena both and Hera
ἥσθην, οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο·
sat nor at-all him addressed nor questioned
αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
but he knew his-own in mind spoke and
"τίφθ' οὕτω τετίησθον, Ἀθηναίη τε καὶ Ἥρη;
why so are-you-two-grieved Athena both and Hera
οὐ μέν θην κάμετόν γε μάχῃ ἔνι κυδιανείρῃ
not indeed surely you-two-have-wearied indeed battle in glory-giving
ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε.
to-destroy the-Trojans for-whom grudge dread you-have-set
πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι,
by-all-means such my indeed might and hands invincible
οὐκ ἄν με τρέψειαν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ.
not — me would-turn as-many-as gods are on Olympus
σφῶϊν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα,
of-you-two and before indeed trembling seized the-shining limbs
πρὶν πόλεμόν τε ἰδεῖν πολέμοιό τε μέρμερα ἔργα.
before war both to-see of-war and the-grim works
ὧδε γὰρ ἐξερέω, τὸ δέ κεν τετελεσμένον ἦεν·
thus for I-will-declare this and — accomplished would-have-been
οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ
not — on your chariot struck by-the-thunderbolt
ἂψ ἐς Ὄλυμπον ἵκεσθον, ἵν' ἀθανάτων ἕδος ἐστίν."
back to Olympus would-you-two-have-come where of-the-immortals the-seat is
Ὣς ἔφαθ', αἱ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη·
So he-spoke they and muttered Athena both and Hera
πλησίαι αἵ γ' ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην.
near-together they indeed sat evils and for-the-Trojans devised

ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε,
truly Athena silent was nor anything said
σκυζομένη Διὶ πατρί, χόλος δέ μιν ἄγριος ἧρει·
sullen at-Zeus father anger and her savage seized
Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
of-Hera and not contained the-breast the-anger but she-addressed(-him)
"αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες.
most-dread son-of-Cronus what — word you-spoke
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἀλαπαδνόν·
well now also we know that your strength not feeble
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων,
but nevertheless the-Danaans we-lament spearmen
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται.
who — indeed evil fate fulfilling perish
ἀλλ' ἤτοι πολέμου μὲν ἀφεξόμεθ', εἰ σὺ κελεύεις·
but truly from-war indeed we-will-keep-away if you bid
βουλὴν δ' Ἀργείοις ὑποθησόμεθ', ἥ τις ὀνήσει,
counsel and to-the-Argives we-will-suggest which any will-help
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο."
so-that not all perish being-angered you
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
"ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
at-dawn indeed even more the-over-mighty son-of-Cronus
ὄψεαι, αἴ κ' ἐθέλῃσθα, βοῶπις πότνια Ἥρη,
you-will-see if — you-wish ox-eyed queenly Hera
ὀλλύντ' Ἀργείων πουλὺν στρατὸν αἰχμητάων·
destroying of-the-Argives the-great army spearmen
οὐ γὰρ πρὶν πολέμου ἀποπαύσεται ὄβριμος Ἕκτωρ,
not for before from-war will-cease mighty Hector

πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα,
before is-roused beside the-ships the-swift-footed son-of-Peleus
ἤματι τῷ ὅτ' ἂν οἱ μὲν ἐπὶ πρύμνῃσι μάχωνται
on-day that when — they indeed at the-sterns fight
στείνει ἐν αἰνοτάτῳ περὶ Πατρόκλοιο θανόντος·
the-strait in most-dread around Patroclus dead
ὡς γὰρ θέσφατόν ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
so for decreed it-is of-you and I not care
χωομένης, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι
angered not-even if — the lowest bounds you-reach
γαίης καὶ πόντοιο, ἵν' Ἰάπετός τε Κρόνος τε
of-earth and of-sea where Iapetus both Cronus and
ἥμενοι οὔτ' αὐγῇς Ὑπερίονος Ἠελίοιο
sitting neither in-the-rays of-Hyperion Sun
τέρποντ' οὔτ' ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος ἀμφίς·
delight-themselves nor in-winds deep and — Tartarus around
οὐδ' ἢν ἔνθ' ἀφίκηαι ἀλωμένη, οὔ σευ ἔγωγε
not-even if there you-come wandering not of-you I-indeed
σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο."
sullen care since not than-you more-shameless other

Night falls, welcome to the Achaeans. Hector holds an assembly on the plain and tells the Trojans to feed their horses and fetch cattle, wine, and wood from the city. They are to burn fires all night in case the Achaeans try to flee by sea, while the old men and boys guard the walls. He boasts that tomorrow he will see whether Diomedes can drive him back. The Trojans camp on the plain, and their thousand fires, fifty men at each, shine like the stars around the moon on a windless night.

Ὣς φάτο, τὸν δ' οὔ τι προσέφη λευκώλενος Ἥρη.
So he-spoke him and not at-all addressed white-armed Hera
ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
in and fell Ocean the-bright light of-the-sun
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.
drawing night black over grain-giving earth
Τρωσὶν μέν ῥ' ἀέκουσιν ἔδυ φάος, αὐτὰρ Ἀχαιοῖς
for-the-Trojans indeed then unwilling set the-light but for-the-Achaeans
ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή.
welcome thrice-prayed-for came-on night dark
Τρώων αὖτ' ἀγορὴν ποιήσατο φαίδιμος Ἕκτωρ,
of-the-Trojans in-turn an-assembly made glorious Hector
νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι,
apart from-the-ships leading(-them) river by eddying
ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.
in a-clear-space where indeed of-corpses showed-through the-ground
ἐξ ἵππων δ' ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον,
from the-horses and having-stepped-down onto the-earth the-word they-heard
τόν ῥ' Ἕκτωρ ἀγόρευε Διῒ φίλος· ἐν δ' ἄρα χειρὶ
which then Hector spoke to-Zeus dear in and then hand
ἔγχος ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς
the-spear he-held of-eleven-cubits before and shone of-the-spear

αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης,
the-point bronze around and golden ran a-ring
τῷ ὅ γ' ἐρεισάμενος ἔπεα Τρώεσσι μετηύδα·
on-it he indeed leaning words to-the-Trojans spoke
"κέκλυτέ μευ, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι·
hear me Trojans and Dardanians and allies
νῦν ἐφάμην νῆάς τ' ὀλέσας καὶ πάντας Ἀχαιοὺς
now I-thought the-ships both having-destroyed and all the-Achaeans
ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν·
back to-return to Ilium windy
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐσάωσε μάλιστα
but before darkness came which now saved most
Ἀργείους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης.
the-Argives and the-ships on the-surf-line of-the-sea
ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
but truly now indeed let-us-yield to-the-night black
δόρπα τ' ἐφοπλισόμεσθα· ἀτὰρ καλλίτριχας ἵππους
suppers and let-us-make-ready but the-fair-maned horses
λύσαθ' ὑπὲξ ὀχέων, παρὰ δέ σφισι βάλλετ' ἐδωδήν·
loose from-under the-chariots beside and them cast food
ἐκ πόλιος δ' ἄξεσθε βόας καὶ ἴφια μῆλα
from the-city and bring cattle and stout sheep
καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε
swiftly wine and honey-sweet get-wine
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε,
bread and from the-halls on and wood much gather
ὥς κεν παννύχιοι μέσφ' ἠοῦς ἠριγενείης
so-that — all-night until dawn early-born
καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἴκῃ,
we-may-burn fires many the-gleam and to heaven may-reach

μή πως καὶ διὰ νύκτα κάρη κομόωντες Ἀχαιοὶ
lest somehow even through the-night on-head long-haired Achaeans
φεύγειν ὁρμήσωνται ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
to-flee hasten over broad backs of-the-sea
μὴ μὰν ἀσπουδί γε νεῶν ἐπιβαῖεν ἕκηλοι,
lest indeed without-effort indeed the-ships they-should-board at-ease
ἀλλ᾽ ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσῃ,
but so-that any of-them indeed a-missile even at-home may-nurse
βλήμενος ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι
struck either by-an-arrow or by-spear sharp
νηὸς ἐπιθρῴσκων, ἵνα τις στυγέῃσι καὶ ἄλλος
the-ship leaping-onto so-that any may-shrink also another
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα.
the-Trojans against horse-taming to-bring tearful Ares
κήρυκες δ᾽ ἀνὰ ἄστυ Διΐ φίλοι ἀγγελλόντων
heralds and through the-town to-Zeus dear let-them-proclaim
παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας
boys in-first-youth gray-templed and old-men
λέξασθαι περὶ ἄστυ θεοδμήτων ἐπὶ πύργων·
to-lie around the-town god-built on towers
θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη
the-female and women in halls each
πῦρ μέγα καιόντων· φυλακὴ δέ τις ἔμπεδος ἔστω,
fire great let-them-burn a-watch and some steadfast let-there-be
μὴ λόχος εἰσέλθῃσι πόλιν λαῶν ἀπεόντων.
lest an-ambush enter the-city the-people being-absent
ὣδ᾽ ἔστω, Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω·
so let-it-be Trojans great-hearted as I-declare
μῦθος δ᾽ ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω,
the-word and which indeed now sound spoken let-it-be

τὸν δ' ἠοῦς Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω.
that and at-dawn the-Trojans among horse-taming I-will-declare
εὔχομαι ἐλπόμενος Διί τ' ἄλλοισίν τε θεοῖσιν
I-pray hoping to-Zeus both to-the-other and gods
ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους,
to-drive-out from-here dogs fate-borne
οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.
whom the-fates bring black on ships
ἀλλ' ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς,
but truly over the-night we-will-guard us ourselves
πρῶϊ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
early and at-dawn with arms armed
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
the-ships at hollow let-us-rouse keen Ares
εἴσομαι εἴ κέ μ' ὁ Τυδεΐδης κρατερὸς Διομήδης
I-will-know if — me the son-of-Tydeus mighty Diomedes
πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται, ἦ κεν ἐγὼ τὸν
from the-ships to the-wall will-thrust-back or — I him
χαλκῷ δηώσας ἔναρα βροτόεντα φέρωμαι.
with-bronze having-slain the-spoils bloody carry-off
αὔριον ἣν ἀρετὴν διαείσεται, εἴ κ' ἐμὸν ἔγχος
tomorrow his-own valor he-will-learn if — my spear
μείνῃ ἐπερχόμενον· ἀλλ' ἐν πρώτοισιν, ὀΐω,
he-will-await coming-on but among the-foremost I-think
κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι,
he-will-lie wounded many and around him comrades
ἠελίου ἀνιόντος ἐς αὔριον· εἰ γὰρ ἐγὼν ὣς
the-sun rising to the-morrow if-only for I so
εἴην ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα,
might-be immortal and ageless days all

τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
might-be-honored and as is-honored Athena and Apollo
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν."
as now day this evil brings to-the-Argives
Ὣς Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶες κελάδησαν.
So Hector spoke on and the-Trojans shouted
οἱ δ' ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας,
they and the-horses indeed loosed from-under the-yoke sweating
δῆσαν δ' ἱμάντεσσι παρ' ἅρμασιν οἷσιν ἕκαστος·
tied and with-thongs beside the-chariots their-own each
ἐκ πόλιος δ' ἄξοντο βόας καὶ ἴφια μῆλα
from the-city and they-brought cattle and stout sheep
καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζοντο,
swiftly wine and honey-sweet got-wine
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο.
bread and from the-halls on and wood much gathered
κνίσην δ' ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴσω.
the-savor and from the-plain the-winds carried heaven into
Οἱ δὲ μέγα φρονέοντες ἐπὶ πτολέμοιο γεφύρας
They and greatly thinking along of-war the-bridges
ἥατο παννύχιοι, πυρὰ δέ σφισι καίετο πολλά.
sat all-night fires and for-them burned many
ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην
as and when in heaven the-stars bright around the-moon
φαίνετ' ἀριπρεπέα, ὅτε τ' ἔπλετο νήνεμος αἰθήρ·
appear conspicuous when — is windless the-upper-air
ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι
out and appear all the-lookouts and headlands high
καὶ νάπαι· οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ,
and glens from-heaven and then breaks-open-beneath the-boundless upper-air

πάντα δὲ εἴδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν·
all and are-seen the-stars rejoices and — in-heart the-shepherd
τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων
so-many between the-ships and of-Xanthus the-streams
Τρώων καιόντων πυρὰ φαίνετο Ἰλιόθι πρό.
of-the-Trojans burning fires appeared at-Ilium before
χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάστῳ
a-thousand then in the-plain fires burned beside and each
ἥατο πεντήκοντα σέλᾳ πυρὸς αἰθομένοιο.
sat fifty in-the-gleam of-fire blazing
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας
the-horses and barley white cropping and spelt
ἑσταότες παρ' ὄχεσφιν ἐΰθρονον Ἠῶ μίμνον.
standing beside the-chariots fair-throned Dawn awaited